2

ΠΕΡΙ ΤΗΣ

# ΤΩΝ ΕΛΛΗΝΙΚΩΝ ΣΤΟΙΧΕΙΩΝ

## ΕΚΦΩΝΗΣΕΩΣ.

DE

# ELEMENTORUM GRÆCORUM

## PRONUNCIATIONE.

# ΠΡΑΓΜΑΤΕΙΑ

ΠΕΡΙ ΤΗΣ

# ΤΩΝ ΕΛΛΗΝΙΚΩΝ ΣΤΟΙΧΕΙΩΝ

## ΕΚΦΩΝΗΣΕΩΣ,

ΥΠΟ

ΑΝΑΣΤΑΣΙΟΥ ΓΕΩΡΓΙΑΔΟΥ,

ΦΙΛΙΠΠΟΥΠΟΛΙΤΟΥ,

Ἰατροῦ καὶ Χειρούργου, τῆς ἐν Ἰένῃ Ἑταιρείας τῶν Ὀρυκτολόγων, τῆς ἐν Ἄλῃ τῶν τῆς Φύσεως Περιέργων, καὶ τῆς Ἰατρικῆς Ἑταιρείας τῆς ἐν Παρισίοις Ἑταίρου Ἀντεπιστέλλοντος.

ἙΛΛΗΝΙΣΤΙ ΚΑΙ ΛΑΤΙΝΙΣΤΙ ΦΙΛΟΠΟΝΗΘΕΙΣΑ.

---

» Ἀλλ' ἤ μ' ἐλέγχειν, ἤν τι μὴ καλῶς λέγω,
» Ἤ τοῖσιν εὖ λεχθεῖσι συγχωρεῖν λόγοις.
ΕΥΡΙΠΙΔ. ἐν Ἱππολύτ. ςχ. 298 καὶ 299.

---

ΕΝ ΠΑΡΙΣΙΟΙΣ,

Παρὰ ΔΕΒΟΥΡΙΩ πατρὶ καὶ υἱῷ τῆς Καισαρικῆς Βιβλιοθήκης Βιβλιοπώλαις ἐν τῇ ἀγυιᾷ τῇ καλουμένῃ *Serpente*, N° 7.

ΕΝ ΒΙΕΝΝΗ ΤΗΣ ΑΟΥΣΤΡΙΑΣ, παρὰ Φ. Ι. ΣΧΑΛΒΑΧΕΡ.

ΕΝ ΛΕΙΨΙΑ, παρὰ Π. Ι. ΒΕΣΣΩΝ.

ΑΩΙΒ.

Digitized by Google

# TRACTATUS

DE

# ELEMENTORUM GRÆCORUM

## PRONUNCIATIONE,

AUCTORE

ANASTASIO GEORGIADE,

PHILIPPOPOLITANO,

Medicinæ et Chirurgiæ Doctore, Societatis Mineralogicæ Ienensis, Societatis Naturæ Curiosorum Halensis, et Societatis Medicæ Æmulationis Parisiensis Socio Correspondente,

GRÆCE ET LATINE ELABORATUS.

» Sed aut me reprehendere, si quid non recte dico,
» Aut bene dictis obtemperare verbis.
EURIPID. in Hippolyt. vers. 298 et 299.

PARISIIS,

Apud DE BURE patrem et filium, Bibliopolas Bibliothecæ Imperialis, via *Serpente* vulgo dicta, N° 7.

VIENNÆ AUSTRIÆ, apud PH. J. SCHALBACHER.

LIPSIÆ, apud P. J. BESSON.

MDCCCXII.

Digitized by Google

ΤΩ ΤΩΝ

ΕΛΛΗΝΩΝ

ΕΘΝΕΙ

ΚΑΙ

ΠΑΣΙ ΤΟΙΣ

ΑΛΛΟΓΕΝΕΣΙΝ

ΕΛΛΗΝΙΣΤΑΙΣ

ΙΕΡΟΝ.

Digitized by Google

GENTI

GRÆCORUM

OMNIBUSQUE

ALIENIGENIS

HELLENISTIS

SACRUM.

# ΠΡΟΛΟΓΟΣ.

» Ουχ ἕδρας ἔργον, οὐδ' ἀμβολᾶς,
» Ἀλλὰ χρυσαιγίδος Ἰτωνίας
» Χρὴ παρ' εὐδαίδαλον ναὸν
» Ἐλθόντας, ἁβρόν τι δεῖξαι·

τὸ τοῦ Βακχυλίδου τόδε τάχα πολλοὶ τῶν ἐπὶ παιδείᾳ φιλοτίμων ἂν εἴποιεν, τὸν εὐδαίμονα καὶ σοφὸν τόνδε τῆς Γαλλίας Ναὸν ἰδεῖν ἐφιέμενοι. Ἀλλὰ τί ποθ' ἁβρὸν καὶ περίπυστον ἔχοι ἄν τις ἐνταῦθα δεῖξαι, ἔνθα παιδεία μὲν ὑπὸ τοσούτων καὶ τηλικούτων ἀνδρῶν πρεσβεύεται; πᾶσαι δ' αἱ ἐπιστῆμαι καὶ τέχναι ἀεὶ βήματι γιγαντάιῳ τῆς ἑαυτῶν τελειότητος ἐγγυτέρω γίνονται; Χωρὶς εἰ μή τις γλαῦκας εἰς Ἀθήνας, τὸ τῆς παροιμίας, κομίσαι, ἢ ἐν παμπόλλοις κύκνοις ἐμμελῶς ᾄδουσιν ὡς κολοιὸς αὐτόχρημα κρώζειν βούλοιτο, ἄσβεστον τῆς ἀβελτηρίας καὶ ἀμουσίας ὀφλισκάνων τὸν γέλωτα. Πρόδηλον οὖν ὡς οὔτε δι' ἄγνοιαν τούτων, οὔτε δι' ἄλλο τι ἔγνων τήνδε τὴν πραγματείαν, ἐν τῇ περικλεεῖ ταύτῃ Πόλει διατρίβων, γράψας τύποις ἐκδοῦναι· ἀλλὰ τοῦτο μὲν, ὡς ὑπὸ τῆς ἀληθείας αὐτῆς κινούμενος· τοῦτο δὲ, καὶ τὸ ἡμέτερον Ἔθνος τῆς παλαιφάτου διαβολῆς, ὡς ἄρα τὴν τῆς πατρῴας διαλέκτου ἀποβεβλήκει ἐκφώνησιν, ἀπαλλάξαι ἀγωνιζόμενος. Δεινὸν γὰρ μὰ Δία γε ἐποιούμην, εἰ τῆς Ἑλλάδος φωνῆς κατὰ τὸν Πατρόκλου νεκρὸν ὑπ' ἀλλοτρίων ἑκατέρωθεν ἑλκομένης, καὶ μονονοὺ διασπαραττομένης, ἡμεῖς, οἷς ἐχρῆν μάλιστα ἀντιλαβέσθαι ἐκείνης, ἡσυχίαν ἐς τέλος ἄγοιμεν, μηδ' ὅγε ὁ παῖς Κροίσου τῷ Πέρσῃ, μὴ κτεῖνε Κροῖσον, τοῖς ἐναντίοις φθεγξάμενοι. Ὡς εἴ γε Πάτροκλον ἀφελεῖν τῶν Τρώων μὴ δυνηθῶ, οὐδεὶς μέντοι οὔτε δειλίαν μου καταγνώσεται· μόνος γὰρ εἰς πᾶσαν τὴν τῶν ἐναντίων φάλαγγα ἐμβαλεῖν καὶ διακινδυνεῦσαι ἐτόλμησα, καὶ ταῦτα οὐ Μενέλαος, οὐκ Ἰδομενεὺς, οὐκ Αἴας ὑπάρχων· οὔτ' ἂν ῥᾳθυμίας με αἰτιάσεται· πολλὰς γὰρ νύκτας ἀΰπνους ἰαύσας, ὡς τοῖς ἀμφὶ τὴν Ἰατρικὴν ἔργοις μεθ' ἡμέραν σχολάζων, τὴν Πραγματείαν τήνδε ἐκπεπόνηκα. Καὶ ταῦτα μὲν δὴ ταῦτα. Διήρηται

# PRÆFATIO.

» Non jam sedendi, non est cunctandi locus;
» Sed auream quæ gestat ægida Minervæ
» Oportet ad superbum templum delatos,
» Quiddam exhibere splendidum;

hæcce Bacchylidæ verba multi forsan scientiarum amore inflammati, felixque hoc et doctrina clarum Galliæ Templum videre cupientes, dicerent. Ast quid splendidi et clari quis hic exhibere possit, ubi doctrina quidem a tot tamque præclaris viris colitur? omnes vero scientiæ artesque passu usquequaque gigantæo ad summum ipsarum culmen propius accedunt? Nisi quis noctuas, juxta proverbium, Athenas inferre; aut inter complures modulate canentes cygnos plane cornicis adinstar garrire, risumque multum ob ineptiam ac imperitiam movere, velit. Patet igitur quod nec propter horum ignorationem, nec ob aliam quandam causam, huncce Tractatum, in hac clarissima Urbe moratus, scribere typisque mandare in animum induxi; sed partim quidem, ipsius veritatis vi stimulatus; partim vero, gentem nostram ab antiqua calumnia in illam adhibita, linguæ vernaculæ scilicet pronunciationem amisisse, liberare enisus. Ægre enim profecto ferebam, quod græco sermone haud secus ac Patrocli cadaver ab alienigenis ex utraque parte tracto, et modo non dilaniato: nos, quibus maxime incumbit illum vendicare, in perpetuum quiescamus; neque saltem vocem, quam Crœsi filius cuidam Persæ extulit: *Noli occidere Crœsum*, adversariis efferamus. Quippe si Patroclum a manibus Trojanorum avellere non potuerim: nemo sane ut timidum me contemnet; solus enim, quamvis non sim Menelaus, vel Idomenæus, vel Ajax, in totum adversariorum agmen irruere ausus sum; nec quis me ut socordem criminabitur; siquidem permultis noctibus pervigilibus exactis, cum toto die Medicinæ operam navarem, hoc Opus elaboravi.

δέ μοι ἅπας ὁ λόγος εἰς πέντε κεφάλαια· καὶ τὸ μὲν πρῶτον, ἐκτὸς ἄλλων τινῶν κατὰ παρέκβασιν εἰρημένων, καθόλου, τὸ δὲ δεύτερον κατὰ μέρος τὴν τῶν ςοιχείων ἐκφώνησιν πραγματεύεται. Τῶν δ' ἑξῆς τὸ μὲν τρίτον γενικῶς, τὸ δὲ τέταρτον εἰδικῶς τὰ περὶ τῆς τῶν διφθόγγων προφορᾶς διεξέρχεται· ὥσπερ οὖν καὶ τὸ ἔσχατον ὅπως τὰ γράμματα κατὰ προσῳδίαν ἐκφωνητέα εἰσὶν, ὑποτίθεται. Καὶ τὰς μὲν ὑποσημειώσεις καὶ μαρτυρίας τῶν Συγγραφέων, κῦρος τοῖς λεγομένοις περιποιούμενος, ἐκ πολλοῦ τοῦ περιόντος προσέθηκα· πολλὰ δὲ τῶν ἐπιχειρημάτων, οἷς ἄλλοι ἐχρήσαντο, τοὐπίτομον θηρώμενος, ἑκὼν γε παρέλιπον. Εἰ δ' ἡ λατινὶς μετάφρασις, ἣ χάριν τῶν μήπω τῆς Ἑλλάδος φωνῆς συνιέντων κατὰ λέξιν ἐγένετο, ἀκαλλής ἐςὶ, καὶ λίαν τῆς τοῦ Λατίου ἀπῳκισμένη ἡδύτητος· ἀλλὰ τούτου, τὴν ἐμὴν μικρὰν τῆς λατινικῆς φωνῆς ἕξιν ὁμολογῶν, συγγνῶναί μοι τὸν Ἀναγνώςην ἀντιβολῶ. Ἐγὼ μὲν οὖν, ἵνα μὴ μικρῷ, φασὶ, θυλάκῳ μέγα τοὐπίγραμμα ἐπικέηται, τὸ ὀρθὸν τῆς ἡμῶν ἐκφωνήσεως αὐτάρκως ἀποδεδειχέναι ὑπολαμβάνω· εἰ δέ τινες τῶν ἀλλογενῶν τοῖς λεγομένοις πεισθέντες, τῇ μερίδι ἡμῶν προςεθήσοιντο, οὐκ ἔχω προμαντεύσασθαι. Καίτοι τοῖς ἀλλογενέσιν, οἷς μάλιςα ἡ τῆς Ἑλλάδος περιήγησις καταθύμιος, καὶ αὕτη ἂν ἡ ὠφέλεια ἐκ τούτου προσγένοιτο, ὅτι τοῖς Ἕλλησιν ἐντυγχάνειν καὶ συνιέναι δυνήσονται, τῇ συνήθως παραδεχθείσῃ, καθάπερ νομίσματι, ὥς φησὶ Σέξτος, ὁμιλίᾳ κατακολουθοῦντες. Εἰ δ' οἱ πλείους τὴν ἡμετέραν μὴ ἀποδέξοιντο προφορὰν, ἢ διὰ τὸ τοῦ μεταμανθάνειν ἐπίπονον, ἢ διὰ τὸ παλαιαῖς προςετηκέναι προλήψεσιν, ἢ καὶ διὰ φιλαυτίαν τὸ τελευταῖον· ἀλλ' ἐκεῖνοι μὲν τὸν Ἕλληνα λόγον, ὡς ἑκάςῳ δοκεῖ, ἐκφωνούντων· ἐμοὶ δὲ καὶ τοῦτο ἱκανὸν, εἴπερ ἐνίους πεῖσαι δυνηθείην, ὡς καὶ ἐν τοσούτοις συμβᾶσιν ἡμῖν δεινοῖς τὴν ὀρθὴν τῆς πατρῴας φωνῆς ἐκφώνησιν ἀεὶ διεσώσαμεν. Εἰ δέ γε ἃ ἐπηγαγόμην ἐπιχειρήματα προσεχῶς ἐξετάσειαν, πέποιθα ὡς ποτὲ πάντες παύσονται ταύτην τὴν ἀηδῆ ἐωλοκρασίαν ἡμῶν κατασκεδαννῦντες.

Ἐν Παρισίοις ΑΩΙΒ'. Μαρτίου Ε'.

Α. Γ.

# PRÆFATIO.

Quod quidem divisum est in quinque capita; quorum primum, præter nonnulla alia in digressione dicta, in genere, secundum vero in specie de pronunciatione literarum tractat; ex sequentibus vero tertium generaliter, quartum specialiter diphthongorum pronunciationem recenset. Eodem modo ultimum quomodo literæ secundum prosodiam efferendæ sint, monet. Porro adnotationes Auctorumque testimonia, fidem dictis comparare cupiens, plene et accumulate addidi; multa vero, quibus alii usi sunt, argumenta, brevitati indulgens, sponte omisi. At si interpretatio latina, quam in gratiam illorum, qui adhuc græci sermonis expertes sunt, ad verbum dedi, inculta valdeque a Latii suavitate remota sit: hoc quidem, mihi mediocrem in latino sermone exercitationem habere confitenti, ut ignoscat Lector enixe rogo. Equidem, ut sacculo, juxta proverbium, non magna inscriptio imponatur, nostram pronunciationem rectam esse, abunde demonstrasse existimo; an vero nonnulli alienigenarum, rationibus allatis persuasi, nostram sententiam secuturi sint, prædicere nequeo. Alienigenæ autem, quibus præsertim in Græciam perigrinari cordi est, hocce emolumentum indė percipient, quod cum Græcis loqui, eosque intelligere facultas iis erit; usu receptum sermonem tanquam nomisma aliquod, ut Sextus ait, persequentes. Si vero plerique nostram pronunciationem admittere recusent, difficultate ac molestia discendi perterriti, seu præjudicatis addicti opinionibus, vel etiam arrogantia: hi quidem, ut cuicuique placet, sermonem græcum pronuncient; mihi autem vel hoc sufficit, si nonnullos eorum persuadere possim, quod inter tot, quibus oppressi fuimus, calamitates, linguæ vernaculæ pronunciationem rectam semper conservavimus. Porro si argumenta, quæ adduximus, attente perpendantur: non dubito quin quondam omnes desinant ineptam hanc obsoletamque calumniam nobis apponere.

Parisiis, MDCCCXII, die V Martii.

A. G.

## ΠΊΝΑΞ ΤΩ͂Ν ΚΕΦΑΛΑΊΩΝ.



## INDEX CAPITUM.

ΠΕΡΙ ΤΗΣ

# ΤΩΝ ΕΛΛΗΝΙΚΩΝ ΣΤΟΙΧΕΙΩΝ

## ΕΚΦΩΝΗΣΕΩΣ.

DE

# GRAECORUM ELEMENTORUM

## PRONUNCIATIONE.

A

Digitized by Google

# ΚΕΦΑΛΑΙΟΝ Α'.

## ΕΙΣΑΓΩΓΙΚΟΝ ΚΑΙ ΓΕΝΙΚΟΝ.

§. ά. ΩΣΠΕΡ λόγῳ Ἄνθρωπος τῷ ἐνδιαθέτῳ διαφέρει τῶν ἄλλων ζώων, οὕτω καὶ τῷ προφορικῷ μόνος ἐκείνων κεκόσμηται. Διὸ καὶ σημεῖα αὐτοῦ χαρακτηριστικὰ τυγχάνουσιν ὄντα ἀμφότερα.

§. β'. Οὐ μόνον δὲ λογικὸν, καὶ τῷ προφορικῷ λόγῳ κεκοσμημένον, ἀλλὰ καὶ φύσει πολιτικὸν ζῶον, ὡς Ἀριστοτέλης ἔφη (1), ἐστὶν ὁ Ἄνθρωπος, καὶ τοῖς ἄλλοις διαλέγεσθαι, καὶ τῶν νοήσεων καὶ παθημάτων τῆς αὐτοῦ ψυχῆς κοινωνεῖν, ἀεὶ παρ' ἐνδομύχου τινος ἐγείρεται μύωπος. Καὶ χαίρων γὰρ ἐπὶ τῇ εὐπραγίᾳ, τὴν ἑαυτοῦ χαρὰν ἐφίεται τῷ πλησίον διεξελθεῖν· καὶ ἐπὶ τῇ κακοπραγίᾳ λυπούμενος, τὴν τοῦ ἄχθους αἰτίαν οὐ δύναται διὰ μακροῦ κρύπτειν. Ἀμφοῖν δὲ τούτων βιαίων ὄντων· τὸ μὲν πρῶτον ἀδολεσχίᾳ, προσώπου φαιδρότητι, ἱλαρότητι, ᾄσμασί τε καὶ ἅλμασι δηλοῦν ἐπιχειρεῖ, τὸ δ' ἕτερον οἰμωγαῖς, δακρύοις, ἐλεεινολογίᾳ καὶ σκυθρωπότητι. Κᾂν δὲ, τοῦ προφορικοῦ λόγου δι' οἱανοῦν αἰτίαν στερούμενος, τὰ ἐν τῇ ψυχῇ παθήματα λέξεσι μὴ ἔχῃ διασαφεῖν· νεύμασι, καὶ βλέμμασι, καὶ ταῖς ἄλλαις τοῦ σώματος σχέσεσι, καὶ κινήσεσιν ὑποσημαίνειν αὐτὰ πειρᾶται.

§. γ'. Φύσει οὖν τοῦ Ἀνθρώπου τοιούτου ὄντος, εἰκὸς αὐτὸν ἐξ αὐτῆς βαλβῖδος τῆς ἰδίας ὑπάρξεως τῷ προφορικῷ λόγῳ ἄρξασθαι χρῆσθαι, καὶ γλώσσης τῆς πρωτίστης τε καὶ ἀρχαιοτάτης εἰσηγητὴν γενέσθαι (1). Εἰ τοῦτο θείᾳ γε ἐμπνεύσει συνέβη (2)· ἢ μόνος, διὰ τὸ λογικὸν, καὶ τὸ εὔστροφον τῶν φωνητηρίων αὐτοῦ ὀργάνων, ὁ Ἄνθρωπος συνεξεῦρεν (3)· εἰ μία

(1) Πολιτικ. Β. Ά. κ. β'.

(1) Καὶ γὰρ εἰκὸς ἀνθρώπους ἐν χρείᾳ λόγου τὸ πρῶτον, καὶ φωνῆς ἐνάρθρου γενέσθαι, τάς τε πράξεις, καὶ τοὺς πράττοντας αὐτὰς, καὶ τὰ πάθη, καὶ τοὺς πάσχοντας ἀλλήλοις διασαφεῖν καὶ ἀποσημαίνειν βουλομένους. Πλούτ. Πλατων. Ζητήμ. σ. 1009. ἐν Παρισίοις. Τ. δύο. 1624.

(2) Γουϊλλιέλμος Ποστέλλος ἐν τῇ Συλλογῇ τῶν ὑπομνηματισμοὺς περὶ τῆς ἀληθοῦς καὶ ὀρθῆς προφορᾶς τῆς ἑλληνικῆς διαλέκτου καταλιπόντων. Τ. Ά. σ. 706. ἐν Λουγδ. τῆς Βαταυΐας. Τ. δύο. 1736-1740.

(3) Τοὺς δὲ ἐξ ἀρχῆς γεννηθέντας τῶν ἀνθρώπων φασὶν ἐν ἀτάκτῳ καὶ θηριώδει βίῳ καθεστῶτας, σποράδην ἐπὶ τὰς νομὰς

Digitized by Google

# CAPUT I.

## INTRODUCTORIUM AC GENERALE.

§. 1. Quemadmodum homo ratione a cæteris animantibus differt; sic etiam sermone vocali solus illorum præditus est. Quapropter ambo hæcce signa ejusdem sunt characteristica.

§. 2. Homo autem non solum rationale, et sermone vocali utens; verum etiam natura civile, ut Aristoteles dixit (1), est animal; et cum aliis loqui, eosque participes cogitationum affectuumque animi sui facere, ab interno quodam calcari excitatur. Nam et dum felicitate gaudet, lætitiam suam propinquo narrare cupit; et ob calamitatem mœrore affectus, molestiæ causam diu abscondere nequit. Atque si utraque earum vehemens sit: primam quidem loquacitate, vultus alacritate, hilaritate, cantu ac saltu; posteriorem vero ululatu, lacrymis, lamentatione, ac vultus tristitia manifestare conatur. Si autem sermone vocali ob quamlibet causam privatus, pathemata in animo suo latentia verbis exprimere non par sit: nutibus, aspectibus, aliisque corporis gestibus ac motibus eadem declarare tentat.

§. 3. Cum homo igitur natura talis sit: consentaneum est illum ab ipso repagulo primæ suæ exsistentiæ sermone vocali uti incepisse, ac linguæ primæ et priscæ institutorem factum esse (1). An hocce divinæ inspirationis ope factum fuerit (2); vel solus homo ob rationem, vocaliumque organorum suorum volubilitatem, illud invenerit (3); an una initio in omnibus

(1) Reipubl. L. I. c. 2.

(1) Apparet nempe homines ab initio adhuc orationem ac vocem articulis distinctam desiderasse, ut et actiones, et qui eas agerent; itemque affectiones, et qui iis afficerentur invicem significare et explicare possent. Plut. Quæst. Platon. p. 1009. Lut. Parisior. Tom. II. 1624.

(2) Guillielmus Postellus in Sylloge Scriptorum, qui de linguæ græcæ vera et recta pronunciatione commentarios reliquerunt. T. I. p. 706. Lugdun. Batav. Tom. II. 1736 — 1740.

(3) Cæterum homines primiter natos vitam inconditam ac belluinam egisse memorant, ut qui spar-

Digitized by Google

τὴν ἀρχὴν ἐν ἅπασιν ἀνθρώποις διάλεκτος ἦν· εἰ αὕτη ἦν ἡ τῶν Ἑβραίων, ἢ ἡ τῶν Φοινίκων, ἢ ἄλλητίς τῶν Ἀσιανῶν (4)· πόθεν δὲ καὶ πῶς ἐν τῷ κατὰ πᾶσαν τὴν οἰκουμένην περιεσπαρμένῳ γένει τῶν ἀνθρώπων ἡ τῶν ἀρχαίων γλωσσῶν ἀνέφυ πληθύς· εἰ πᾶσαι αὗται ἐκ μιᾶς τῆς πρώτης, ὡς ἐκ πίδακός τινος ἐξεῤῥύησαν, ἢ πολλὰι κατὰ διαφόρους καιρούς τε καὶ τόπους ἤρξαντο· τίνες δ' ἀνθρώπων πρῶτοι ἐπεξεῦρον τὰ γράμματα (5),

ἐξιέναι, καὶ προσφέρεσθαι τῆς τε βοτάνης τὴν προσηνεςάτην, καὶ τοὺς αὐτομάτους ἀπὸ τῶν δένδρων καρπούς· καὶ πολεμουμένους μὲν ὑπὸ τῶν θηρίων, ἀλλήλοις δὲ βοηθεῖν ὑπὸ τοῦ συμφέροντος διδασκομένους· ἀθροιζομένους δὲ διὰ τὸν φόβον, ἐπιγινώσκειν ἐκ τοῦ κατὰ μικρὸν τοὺς ἀλλήλων τύπους. Τῆς φωνῆς δὲ ἀσήμου καὶ συγκεχυμένης οὔσης, ἐκ τοῦ κατ' ὀλίγον διαρθροῦν τὰς λέξεις, καὶ πρὸς ἀλλήλους τιθέντας σύμβολα, περὶ ἑκάςου τῶν ὑποκειμένων γνώριμον σφίσιν αὐτοῖς ποιῆσαι τὴν περὶ πάντων ἑρμηνείαν. Τοιούτων δὲ συςημάτων γενομένων καθ' ἅπασαν τὴν οἰκουμένην, οὐχ ὁμόφωνον πάντας ἔχειν τὴν διάλεκτον, ἑκάςων ὡς ἔτυχε συνταξάντων τὰς λέξεις· διὸ καὶ παντοίους τε ὑπάρξαι χαρακτῆρας διαλέκτων, καὶ τὰ πρῶτα συςήματα τῶν ἁπάντων ἐθνῶν ἀρχέγονα γενέσθαι. Διόδ. Σικελ. Β. Α. σ. 8. ἐν Ἀνοβίᾳ. 1604. Ἴδὲ καὶ Γενέσ. κ. ιά.

(4) Γ. Ποστέλ. ἔνθ. ἀν. σ. 704 καὶ 706.

(5) » Καὶ μὴν ἀριθμὸν ἔξοχον σοφισμάτων
» Ἐξεῦρον αὐτοῖς, γραμμάτων τε συνθέσεις.

Αἰσχύλ. ἐν Προμηθ. ςιχ. 458 καὶ 459. Επειδὴ φωνὴν ἄπειρον κατενόησεν, εἴτε τις θεὸς, εἴτε καὶ θεῖος ἄνθρωπος, ὡς λόγος ἐν Αἰγύπτῳ, Θεῦθ τινα τοῦτον γενέσθαι λέγων· ὃς πρῶτος τὰ φωνήεντα ἐν τῷ ἀπείρῳ κατενόησεν οὐχ ἓν ὄντα, ἀλλὰ πλείω· καὶ πάλιν ἕτερα φωνῆς μὲν οὔ, φθόγγου δὲ μετέχοντα τινός· ἀριθμὸν δέ τινα καὶ τούτων εἶναι· τρίτον δὲ εἶδος γραμμάτων διεςήσατο τὰ νῦν λεγόμενα ἄφωνα ἡμῖν. Τὸ μετὰ τοῦτο διήρει τά τε ἄφθογγα καὶ ἄφωνα, μέχρις ἑνὸς ἑκάστου· καὶ τὰ φωνήεντα, καὶ τὰ μέσα κατὰ τὸν αὐτὸν τρόπον. ἕως αὐτῶν ἀριθμὸν λαβὼν, ἑνί τε ἑκάστῳ καὶ ξύμπασι, στοιχεῖα ἐπωνόμασε. Πλάτ. Φίλ. ἢ περὶ Ἡδον. σ. 75. Ἴδὲ καὶ Φαιδρ. σ. 356. ἐν Λουγδούν. 1590. Τῶν ὑφ' ἥλιον γεγονότων πρῶτός ἐςι Ταύατος ὁ τῶν γραμμάτων τὴν εὕρεσιν ἐπινοήσας, καὶ τὴν τῶν ὑπομνημάτων ἀρχὴν καταδείξας, καὶ ἀπὸ τοῦδε ὥσπερ κρηπῖδα βαλόμενος τοῦ λόγου· ὃν Αἰγύπτιοι μὲν ἐκάλεσαν Θωὺθ, Ἀλεξανδρεῖς δὲ Θὼθ, Ἑρμῆν δὲ Ἕλληνες μετέφρασαν. Φίλων Βύβλιος παρὰ Εὐσεβ. Εὐαγγ. Προπαρ. Β. Ά. κ. θ'. Ὧν εἷς ἦν Ἴσιρις τῶν τριῶν γραμμάτων εὑρετὴς, ἀδελφὸς Χνᾶ τοῦ πρώτου μετονομασθέντος Φοίνικος. ὁ αὐτ. παρὰ τῷ αὐτ. κ. ί. Ὑπὸ γὰρ τοῦ Ἑρμοῦ φασὶν Αἰγύπτιοι πρῶτόν μεν τήν τε κοινὴν διάλεκτον διαρθρωθῆναι, καὶ πολλὰ τῶν ἀνωνύμων τυχεῖν προσηγορίας, τήν τε εὕρεσιν τῶν γραμμάτων γενέσθαι, καὶ τὰ περὶ

Digitized by Google

hominibus lingua fuerit; an hæc fuerit lingua Hebræorum, vel Phœnicum, vel alia quædam Asiatica (4); undeque ac quomodo priscarum dialectorum multitudo in genere humano in omnem orbem terrarum diffuso orta sit; an hæ omnes ex una prima quasi ex fonte quodam emanaverint; vel multæ diversis temporibus ac locis initium habuerint; quinam porro hominum primi literas (5), memoriæ sapientiæque, ut juxta divum

sim ad pascua exierint; et sapidissimam quamque herbam, ac spoute natos arborum fructus comederent. Cumque a feris infestarentur, mutuo sibi opitulari usu edocti, et metu ad societatem adacti, paulatim cognitas inter se formas agnoverunt. Voce autem adhuc confusa, et nihil significante: pedetentim verba articulate pronunciando, et signis unamquamque rem subjectam notando, elocutionem tandem rerum omnium sibi fecerunt. Sed cum per totum orbem hujusmodi cœtus coïrent, et quique, ut sors dabat, verba connectarent, non eadem omnes loquela utebantur. Ideoque variæ omnis generis linguarum formæ exstiterunt; et primæ illæ congregationes universis originem nationibus præbuere. Diod. Sicul. L. I. p. 8. Hanoviæ, 1604. Vide et Genes. c. 11.

(4) G. Postel. l. c. p. 704 et 706.

(5) Atque numerum artium præstantissimam eis inveni, literarumque connexiones. Æschyl. in Prometh. vers. 458 et 459. Postquam infinitam vocem cogitavit, sive deus aliquis, sive homo divinus, qualis apud Ægyptios Theuth quidam fuisse fertur; qui primus in ipsa vocis infinitate vocales literas consideraverit, quæ non una, sed plures sunt; rursusque alias, quæ non vocis, sed soni participes essent; atque harum numerum certum similiter definivit. Tertiam deinde speciem literarum distinxit, earum quas nunc mutas vocamus. Postremo soni expertes mutasque discrevit, usque singula quædam, vocalesque et medias eodem modo; donec earum numero in singulis speciebus et in universis reperto, elementa vocavit. Plat. Phileb. vel de summo Bono. p. 75. Vide et Phædr. p. 356. Lugd. 1590. Omnium qui lucem hanc aspexerunt Tavatus literas primus invenit, ac scribendorum commentariorum auctor fuit. Ab illo autem auspicatum esse, quem ab Ægyptiis Thoyth, ab Alexandrinis Thoth nominatum Græci Ἑρμῆν reddidere. Phil. Byblius apud Euseb. Evang. Præpar. l. I. c. 9. Horum unus Isiris quidam fuit trium literarum inventor, frater illius Chnæ, qui primus postea Phœnix appellatus est. Id. apud eund. c. 10. Hic enim primus (Mercurius) „ut ferunt Ægyptii, et communem loquelam articulatim distinxit, et multis rebus nomine destitutis nomen indidit, literas invenit, deorum cultus et sacrificia ordinavit.

τὰς τῶν Θεῶν τιμὰς καὶ θυσίας διαταχθῆναι. Διόδ. Β. Α. σ. 14. Λέγουσιν Αἰγύπτιοι παρ' αὐτοῖς τὴν τῶν γραμμάτων εὕρεσιν γενέσθαι, καὶ τῶν ἄςρων παρατήρησιν. Ὁ αὐτ. αὐτ. σ. 63. Ἀκτὶς δ' εἰς Αἴγυπτον ἀπάρας, ἔκτισε τὴν Ἡλιούπολιν ὀνομαζομένην, ἀπὸ τοῦ πατρὸς θέμενος τὴν προσηγορίαν· οἱ δ' Αἰγύπτιοι ἔμαθον παρ' αὐτοῦ τὰ περὶ τὴν Ἀςρολογίαν θεωρήματα. Ὕςερον δὲ παρὰ τοῖς Ἕλλησι γενομένου κατακλυσμοῦ, καὶ διὰ τὴν ἐπομβρίαν τῶν πλείςων ἀνθρώπων ἀπολομένων, ὁμοίως τούτοις καὶ τὰ διὰ τῶν γραμμάτων ὑπομνήματα συνέβη φθαρῆναι. Δι' ἣν αἰτίαν οἱ Αἰγύπτιοι καιρὸν εὔθετον λαβόντες, ἐξιδιοποιήσαντο τὰ περὶ τὴν Ἀςρολογίαν· καὶ τῶν Ἑλλήνων διὰ τὴν ἄγνοιαν μηκέτι τῶν γραμμάτων ἀντιποιουμένων, ἐνίσχυσαν ὡς αὐτοὶ πρῶτοι τὴν τῶν ἄςρων εὕρεσιν ἐποιήσαντο. Ὁμοίως δὲ καὶ Ἀθηναῖοι κτίσαντες ἐν Αἰγύπτῳ πόλιν τὴν ὀνομαζομένην Σάϊν, τῆς ὁμοίας ἔτυχον ἀγνοίας διὰ τὸν κατακλυσμόν. Δι' ἃς αἰτίας πολλαῖς ὕςερον γενεαῖς Κάδμος ὁ Αἰγύπτιος ἐκ τῆς Φοινίκης πρῶτος ὑπελήφθη κομίσαι τὰ γράμματα εἰς τὴν Ἑλλάδα, καὶ ἀπ' ἐκείνου τὸ λοιπὸν οἱ Ἕλληνες ἔδοξαν ἀεί τι προσευρίσκειν περὶ τῶν γραμμάτων, κοινῆς τινος ἀγνοίας κατεχούσης τοὺς Ἕλληνας. ὁ αὐτ. Β. Ε. σ. 328. Ταῖς δὲ Μούσαις φασὶν οἱ Κρῆτες δοθῆναι παρὰ τοῦ πατρὸς τὴν τῶν γραμμάτων εὕρεσιν, καὶ τὴν τῶν ἐπῶν σύνθεσιν τὴν προσαγορευομένην Ποιητικήν. Πρὸς δὲ τοὺς λέγοντας ὅτι Σύροι μὲν εὑρεταὶ τῶν γραμμάτων εἰσί, παρὰ δὲ τούτων Φοίνικες μαθόντες τοῖς Ἕλλησι παραδεδώκασιν· οὗτοί δ' εἰσιν οἱ μετὰ Κάδμου πλεύσαντες εἰς τὴν Εὐρώπην, καὶ διὰ τοῦτο τοὺς Ἕλληνας τὰ γράμματα φοινίκεια προσαγορεύειν· φασὶ τοὺς Φοίνικας οὐκ ἐξ ἀρχῆς εὑρεῖν, ἀλλὰ τοὺς τύπους τῶν γραμμάτων μεταθεῖναι μόνον, καὶ τῇ γραφῇ ταύτῃ τοὺς πλείςους τῶν ἀνθρώπων χρήσασθαι, καὶ διὰ τοῦτο τυχεῖν τῆς προειρημένης προσηγορίας. ὁ αὐτ. αὐτ. σ. 340. Πρῶτοί εἰσιν Αἰγύπτιοι οἱ τὰ νοὸς αἰσθήματα ζώων σχήμασιν ἐκτυπώσαντες. Ταῦτα δὲ καὶ ἐν παλαιοτάτοις τῆς μνήμης τῶν ἀνθρώπων μνημείοις ἐγκεκολαμμένα λίθοις ὁρᾶται, καὶ τῶν γραμμάτων ἐκείνους εὑρετὰς ἀποδείκνυσιν. Ὅθεν Φοίνικες, ἅτε δὴ θαλασσοκρατοῦντες, εἰς Ἑλλάδα μετενεγκόντες τὰ γράμματα, δόξης ἔτυχον ταῦτα ἐξευρεῖν, καίπερ αὐτὰ παρ' Αἰγυπτίων παραλαβόντες. Φασὶ γὰρ Κάδμον τῷ Φοινίκων ςόλῳ κομισθέντα, τοῖς ἔτι ἀπαιδεύτοις τῶν Ἑλλήνων λαοῖς αἴτιον ταύτης τῆς τέχνης γενέσθαι. Ἔνιοι Κέκροπα τὸν Ἀθηναῖον, ἢ Λῖνον τὸν Θηβαῖον, καὶ κατὰ τοὺς τρωϊκοὺς χρόνους Παλαμήδην τὸν Ἀργεῖον ἑκκαίδεκα τῶν γραμμάτων μορφάς· καὶ αὖθις ἄλλους, καὶ μάλιςα Σιμωνίδην τὰ λοιπὰ ἐφευρεῖν μνημονεύουσι. Τάκιτος Χρονικ. Β. ΙΑ'. Εἴγε τῇ φήμῃ πιςευτέον ἐςί, τουτὶ τὸ ἔθνος (οἱ Τύριοι) ἢ ἐδίδαξεν, ἢ ἔμαθε πρῶτον τὰ γράμματα. Κούρτιος Β. Δ'. κ. δ'. Ὑπὲρ δὲ τοῦ μὴ διαφυγεῖν τοὺς ἀνθρώπους τὰ εὑρημένα, μηδὲ πρὶν εἰς γνῶσιν ἐλθεῖν διαφθαρῆναι, προειρηκότος ἀφανισμὸν Ἀδάμου τῶν ὅλων ἔσεσθαι, τὸν μὲν κατ' ἰσχὺν πυρὸς, τὸν δὲ κατὰ

Diod. l. I. p. 14. Affirmant igitur Ægyptii literas, et notationem siderum apud se inventas. Id. ib. p. 63. Actis vero in Ægyptum profectus, Heliopolim condidit, parentis nomine illi imposito; et ab hoc Ægyptii Astrologiæ scientiam acceperunt. Post cum in Græcia diluvio oppressa maxima pars hominum periisset, literarum monumentis simul deletis: hanc Ægyptii occasionem adepti, studium Astrologiæ sibi manciparunt; cumque Græci per ignorantiam literarum culturam non amplius sibi vendicarent, ipsos omnium primos astrorum notitiam reperisse rumor invaluit. Sic etiam Athenienses, licet Sain in Ægypto urbem condidissent; tamen eidem oblivionis errori ob diluvium obnoxii sunt. Quam ob causam post multa inde secula Cadmus Agenoris ex Phœnicia in Græciam literas attulisse creditur; et post hunc Græci doctrinarum inventioni subinde adjecisse aliquid putantur; quos tamen commune ignorationis vitium impeditos tenet. Id. l. V. p. 328. Musis vero a patre (Aiunt Cretes) concessa est literarum inventio, et compositio carminum, quæ Poëtica nominátur. His vero, qui literas Syrorum inventioni tribuunt, a quibus Phœnices illas didicerint, et cum Græcis communicaverint, profecti scilicet una cum Cadmo in Europam; unde literas Græci Phœniceas appellant: his ergo respondent Phœnices nequaquam primos esse inventores; sed formas tantum elementorum immutasse. Qua scriptura cum plurimi deinde uterentur, appellationes illas sic inolevisse. Id. ib. p. 340. Primi per figuras animalium Ægyptii sensus mentis effingebant; et antiquissima monumenta memoriæ humanæ impressa saxis cernuntur; et literarum semet inventores perhibent. Inde Phœnices, quia mari præpollebant, intulisse Græciæ, gloriamque adeptos tanquam repererint quæ acceperant. Quippe fama est Cadmum classe Phœnicum vectum, rudibus adhuc Græcorum populis artis ejus auctorem fuisse. Quidam Cecropem Atheniensem, vel Linum Thebanum; et temporibus Trojanis Palamedem Argivum memorant, sexdecim literarum formas; mox alios, ac præcipuum Simonidem cæteras reperisse. Tacit. Annal. l. xi. Si famæ libet credere, hæc gens (Tyrii) literas prima aut docuit, aut didicit. Curt. l. iv, c. 4. Ne autem illa inventa homines effugerent, et antequam venerint in notitiam intercciderent; cum rerum interitum fore, alterum quidem ignis vi, alterum vero per violentiam et multitudinem aquarum, prædixisset Adamus: columnis duabus extructis, una quidem ex latere, altera vero ex lapidibus, inventa sua utrisque

βίαν καὶ πληθὺν ὕδατος· ςήλας δύο ποιησάμενοι (οἱ τοῦ Σήθου ἀπόγονοι) τὴν μὲν ἐκ πλίνθων, τὴν δ' ἑτέραν ἐκ λίθων, ἀμφοτέραις ἐνέγραψαν τὰ εὑρημένα· ἵν' εἰ καὶ συμβαίη τὴν πλινθίνην ἀφανισθῆναι ὑπὸ τῆς ἐπομβρίας, ἡ λιθίνη μείνασα, παράσχῃ μαθεῖν τοῖς ἀνθρώποις τὰ εὑρημένα. Φλάβ. Ἰώσ. Ἰουδ. Ἀρχαιολ. Β. Ά. κ. β΄. ἐν Αὐρηλίᾳ. 1611. Τὸν δὲ περὶ τὴν Ἑλλάδα τόπον μυρίαι μὲν φθοραὶ κατέσχον, ἐξαλείφουσαι τὴν μνήμην τῶν γεγονότων· ἀεὶ γὰρ καινοὺς καθιςάμενοι βίους, τοῦ παντὸς ἐνόμιζον ἄρχειν ἕκαςοι τὸν ἀφ' ἑαυτῶν· ὀψὲ δὲ καὶ μόλις ἔγνωσαν φύσιν γραμμάτων. Οἱ γοῦν ἀρχαιοτάτην αὐτῶν τὴν χρῆσιν εἶναι θέλοντες, παρὰ Φοινίκων καὶ Κάδμου σεμνύνονται μαθεῖν. Οὐ μὴν οὐδ' ἐπ' ἐκείνου τοῦ χρόνου δύναιτό τις ἂν δεῖξαι σωζομένην ἀναγραφὴν, οὔτ' ἐν ἱεροῖς, οὔτ' ἐν δημοσίοις ἀναθήμασιν· ὅπου γε καὶ τῶν ἐπὶ Τροίαν τοσούτοις ἔτεσι ςρατευσάντων ὕςερον πολλὴ γέγονεν ἀπορία τε καὶ ζήτησις, εἰ γράμμασιν ἐχρῶντο· καὶ τ' ἀληθὲς ἐπικρατεῖ μᾶλλον περὶ τοῦ τὴν νῦν οὖσαν τῶν γραμμάτων χρῆσιν ἐκείνους ἀγνοεῖν.... Καὶ φασὶν οὐδὲ τὸν Ὅμηρον ἐν γράμμασι τὴν αὐτοῦ ποίησιν καταλιπεῖν, ἀλλὰ διαμνημονευομένην ἐκ τῶν ᾀσμάτων, ὕςερον ἐκτεθῆναι, καὶ διὰ τοῦτο πολλὰς ἐν αὐτῇ σχεῖν τὰς διαφωνίας. ὁ αὐτ. κατὰ Ἀπίων. λόγ. Ά. σ. 1034. Ἐγὼ μὲν ἀεὶ τὰ γράμματα ἀσσυριακὰ οἶμαι πεφυκέναι· ἄλλοι μέντοι παρ' Αἰγυπτίοις ὑπὸ Ἑρμοῦ, ὡς Γέλλιος, ἄλλοι δὲ παρὰ Σύροις εὑρεθῆναι ταῦτα ὑπολαμβάνουσι. Βέβαιόν δ' ἐςι τὸν μὲν Κάδμον ἑκκαίδεκα τὸν ἀριθμὸν ἐκ Φοινίκης μετακομίσαι· οἷς Παλαμήδης ἐπὶ τοῦ τρωϊκοῦ πολέμου τέσσαρα προσέθηκε θ, ξ, φ, χ, καὶ μετ' αὐτὸν ἄλλα τοσαῦτα ὁ Μελοποιὸς Σιμωνίδης ζ, η, ψ, ω. Ὧν ἁπάντων ἡ δύναμις ἐν τοῖς ἡμετέροις γινώσκεται. Ὁ δ' Ἀριςοτέλης φησὶν ὀκτωκαίδεκα τὰ ἀρχαῖα πεφυκέναι γράμματα, α, β, γ, δ, ε, ζ, ι, κ, λ, μ, ν, ο, π, ρ, σ, τ, υ, φ· καὶ τὰ δύο θ, χ, ὑπὸ Ἐπιχάρμου μᾶλλον, ἢ Παλαμήδους προσεθῆναι ὑπολαμβάνει. Ὁ δ' Ἀντικλείδης Μένωνά τινα ἐν Αἰγύπτῳ εὑρηκέναι τὰ γράμματα παραδίδωσι, πρὸ πεντεκαίδεκα ἐτῶν Φορωνέως τοῦ παλαιοτάτου τῆς Ἑλλάδος βασιλέως, καὶ τοῦτο διὰ μνημείων ἀγωνίζεται ἀποδεῖξαι. Τοὐναντίον δὲ Ἐπιγένης, ἐν τοῖς πρώτοις τῶν ἀξιοπίςων συγγραφέων ταττόμενος, παραδίδωσι παρὰ Βαβυλωνίοις ψλ΄. ἐτῶν παρατηρήσεις ἀςέρων ἐν πλίνθοις ὀπταῖς γεγραμμένας ὑπάρχειν· οἱ δ' ἐλάχιςον, ὡς Βήρωσος, καὶ Κριτόδημος, υπ΄. Ἐξ οὗ ἡ αἰώνιος τῶν γραμμάτων χρῆσις καταφαίνεται. Πλίν. Δεύτ. Φυσικ. Ἱςορ. Β. Ζ΄. κ. νς΄. Ἰδὲ καὶ Β. Έ. κ. ιβ΄. Ἑρμῆς λέγεται θεῶν ἐκ Αἰγύπτῳ τὰ γράμματα πρῶτος εὑρεῖν. Πλούταρχ. Συμποσ. Προβλ. Β. Θ΄. προβ. γ΄. Κάδμος δὲ Φοῖνιξ ἦν ὁ τῶν γραμμάτων Ἕλλησιν εὑρετὴς, ὡς φησὶν Εὔφορος (ἴσ. Ἔφορος)· ὅθεν καὶ φοινικήϊα τὰ γράμματα Ἡρόδοτος κεκλῆσθαι γράφει. Οἱ δὲ Φοίνικας, καὶ Σύρους τὰ γράμματα ἐπινοῆσαι πρώτους λέγουσιν. Ἀλέξ. Στρωμ. Β. Ά. σ. 306. Τῶν δὲ τῆς ἀληθείας ἱςοριῶν Ἕλληνες οὐ μέμνηνται, πρῶτόν μεν διὰ τὸ νεωςὶ αὐτοὺς τῶν γραμμάτων τῆς ἐμ-

(Sethi oriundi) inscripserunt; ut si eveniret lateritiam eversam iri per imbrium vim, lapidea superstes ostenderet hominibus astronomica inscripta. Flav. Joseph. Antiq. Jud. l. I. c. 2. Aurel. Allobr. 1611. Græcorum vero regionem innumeræ corruptiones invasere, rerum memoriam delentes. Qui autem novas constituentes conversationes, omnium se primos esse credidere, sciant quia etiam sero et vix naturam potuere agnoscere literarum. Nam antiquissimum earum usum habuisse creduntur a Phœnicibus; et a Cadmo se didicisse gloriantur. Sed neque illo tempore poterit aliquis demonstrare servatam conscriptionem neque in templis, neque in publicis anathematibus. Quando etiam de Trojanis rebus, ubi tot annis militatum est postea, multa quæstio atque contentio facta est, utrum literis usi sint; et magis veritas obtinuit quod usus modernarum literarum illis fuisset ignotus.... Et ajunt neque Homerum literis suum poëma reliquisse, sed cantibus memoria reservatum, postea fuisse compositum; et propterea multam in eo comperiri dissonantiam. Id. contra Apion. l. I. p. 1034. Literas semper arbitror Assyrias fuisse; sed alii apud Ægyptios a Mercurio, ut Gellius; alii apud Syros repertas volunt. Utique in Græciam intulisse e Phœnice Cadmum sexdecim numero; quibus Trojano bello Palamedem adjecisse quatuor hac figura ϑ, ξ, φ, χ. totidem post eum Simonidem Melicum ζ, η, ψ, ω: quarum omnium vis in nostris recognoscitur. Aristoteles x et viii, priscas fuisse, α, β, γ, δ, ε, ζ, ι, κ, λ, μ, ν, ο, π, ρ, σ, τ, υ, φ, et duas ab Epicharmo additas θ, χ, quam a Palamede mavult. Anticlides in Ægypto invenisse quendam nomine Menona tradit xv annis ante Phoroneum antiquissimum Græciæ regem, idque monumentis approbare conatur. E diverso Epigenes apud Babylonios dccxxx annorum observationes siderum coctilibus laterculis inscriptas docet, gravis autor in primis; qui minimum, Berosus et Critodemus ccccLXXX annorum. Ex quo apparet æternus literarum usus. Plin. Secund. Histor. Natur. l. vii. c. 56. Vid. et l. v. c. 12. Primus deorum Mercurius in Ægypto literas invenisse dicitur. Plutar. Quæst. Conviv. l. ix. Quæst. 3. Cadmus autem erat Phœnix qui fuit Græcis literarum inventor, ut ait Ephorus. Unde etiam scribit Herodotus literas appellatas fuisse phœniceas. Alii vero primos Phœnices et Syros literas invenisse dicunt. Alex. Stromat. l. I. p. 306. Cæterum sacrarum literarum veritatis haud meminere Græci scriptores. Ejus rei causa prima est, quod nuper admodum literarum

τὸ μνήμης τε καὶ σοφίας, κατὰ τὸν ἱερὸν Πλάτωνα εἰπεῖν (6), φάρμακον· καὶ εἴτι ἄλλο τῆς αὐτῆς ἰδέας ἐςὶ, ταῦτα πάντα, ὡς λίαν τῇ ἡμῶν προθέσει ἀπᾴδοντα, σιγῇ παρελθόντες, ἄλλοις ἐπ' ἀκριβείας ἐῶμεν διερευνᾷν.

πειρίας μετόχους γενέσθαι, καὶ αὐτοὶ ὁμολογοῦσι, φάσκοντες τὰ γράμματα εὑρῆσθαι, οἱ μὲν παρὰ Χαλδαίων, οἱ δὲ παρ' Αἰγυπτίων, ἄλλοι δ' αὖ ἀπὸ Φοινίκων. Θεόφιλ. πρὸς Αὐτόλυκ. Β. Γ'. Τὴν διὰ γραμμάτων παιδείαν Φοίνικες ἐξεῦρον. Τατιαν. πρὸς Ἕλλην. Τὰ γράμματα οἱ Φοίνικες ἐφεῦρον πρῶτοι· ἔνθεν καὶ φοινίκεια ἐκλήθησαν· καὶ τὸν Κάδμον φασὶ πρῶτον εἰς τὴν Ἑλλάδα διακομίσαι. Σουΐδ. ἐν λέξει Γράμματα. Λυδοὶ καὶ Ἴωνες τὰ γράμματα ἀπὸ Φοίνικος τοῦ Ἀγήνορος εὑρόντος ἔλαβον. Τούτοις δ' ἀντιλέγουσι Κρῆτες, ὡς ὠνομάσθησαν ἀπὸ τοῦ γράφειν ἐν Φοινίκων πετάλοις. Σκάμμων δὲ ἐν τῇ δευτέρᾳ τῶν Εὑρημάτων ἀπὸ Φοινίκης τῆς Ἀκταίωνος ὀνομασθῆναι. Μυθεύεται δ' οὗτος ἀρσένων μὲν παίδων ἄπαις, γενέσθαι δὲ αὐτῷ θυγατέρας Ἄγλαυρον Ἕρσην, Πάνδροσον, Φοινίκην· τὴν δὲ Φοινίκην ἔτι παρθένον οὖσαν τελευτῆσαι. Διὸ καὶ φοινίκεια τὸν Ἀκταίωνα καλέσαι τὰ γράμματα, βουλόμενόν τινος τιμῆς ἀπονεῖμαι τῇ θυγατρί. ὁ αὐτ. ἐν λέξει Φοινίκεια Γράμματα. Τινὲς δέ φασι τοὺς χαρακτῆρας τῶν ςοιχείων τῶν παρ' ἡμῖν ὑφ' Ἑρμοῦ ἐν φοίνικος φύλλῳ γεγραμμένους, καταπεμφθῆναι τοῖς ἀνθρώποις· διὸ καὶ φοινίκεια λέγεται τὰ γράμματα· οἱ δὲ ὅτι Φοινίκων ἐςὶν εὕρεσις· οἱ δὲ ὅτι ὁ παιδαγωγὸς τοῦ Ἀχιλλέως Φοῖνιξ ἐφεῦρεν αὐτά. Διονύσ. Θρᾷξ παρὰ Villoison ἐν Ἀνεκδότ. Ἑλληνικ. Τ. Β'. σ. 186. Καί γὰρ καὶ αὐτά τὰ φοινίκεια γράμματα τοῖς ὀνόμασιν, ὡς καί τά ἑβραϊκά, κατὰ μίμησιν τῶν Ἑβραίων τοῖς Φοίνιξιν εὑρέθη. ὁ αὐτ. αὐτ. σ. 187. Καί ταῦτα μὲν οὕτως· τούς δ' ἑξῆς τοῦ Ὁμήρου ςίχους,

» Πέμψε δέ μιν Λυκίηνδε, πόρεν δ' ὅγε σήματα λυγρά,
» Γράψας ἐν πίνακι πτυκτῷ θυμοφθόρα πολλά.

Ἰλ. Ζ. ςιχ. 168, καὶ 169. ἴσως ἄντις ὡς ἀπόδειξιν λάβοι τοῦ τὰ γράμματα καὶ κατ' ἐκεῖνον τὸν καιρὸν γνωςὰ πεφυκέναι· ἀλλ' Εὐςάθιος τοῦτο οὐκ ἀποδεχομένῳ ἔοικε. Φησὶ γάρ· Τὸ σήματα γράψας ἐν πίνακι πτυκτῷ, διέςαλται μὲν τοῦ ἀπὸ ςόματός τι δηλοῦν........ ἀπὸ παλαιοτάτης δὲ εἴληπται χρήσεως. Ἡ μὲν γὰρ τῶν κυρίως λεγομένων ἀπὸ τοῦ γράφειν, ὅ ἐςι ξέειν, γραμμάτων χρῆσις νεωτέρα ἐςίν· ὡσαύτως καὶ τὸ εὔξεςα σημεῖα διὰ χρωμάτων ἐντυποῦν ὕςερον εὕρηται· καὶ ἡ τῶν χαρακτήρων δὲ χρῆσις τοῦ κάτω χρόνου εὕρημα. Οἱ δέ γε παλαιοὶ, ὁποῖόν τι καὶ οἱ Αἰγύπτιοι ἐποίουν, ζῴδιά τινα ἱερογλυφοῦντες, καὶ λοιπούς δὲ χαρακτῆρας εἰς σημασίαν ὧν λέγειν ἐβούλοντο, οὕτω καὶ αὐτοὶ, καθὰ καὶ τῶν τινες ὕςερον Σκυθῶν, ἐσήμαινον ἃ ἤθελον, εἴδωλά τινα καὶ πολυειδῆ γραμμικὰ ξέσματα ἐγγράφοντες. Παρεκβολ. Ἰλ. σ. 489. Ἐκδ. Βασιλείας.

(6) Ἐν Φαίδρ. σ. 356.

Platonem dicam (6), remedium, invenerint; et quidquid aliud ad hanc ideam pertineat : hæc omnia, tanquam valde a nostro scopo remota, silentio prætereundo, aliis exacte perscrutari reliquimus.

scientiam assumti sunt. Nam et ipsi confitentur, literas quidam esse Chaldæorum, quidam Ægyptiorum, quidam Phœnicum inventionem. Theophil. ad Autol. l. III. Phœnices literarum disciplinam invenere. Tatian. orat. ad Græc. Literas Phœnices primi invenerunt; unde et phœniceæ appellatæ sunt; et Cadmum ajunt primum illas in Græciam transtulisse. Suid. in Γράμματα. Lydi et Iones literas a Phœnice Agenoris harum inventore acceperunt. His autem refragantur Cretenses; dicunt enim literas sic appellatas esse, quia in foliis palmarum olim scribebantur. Scammo vero in II. Inventorum à Phœnice Actæonis filia sic literas appellatas esse dicit. Hic enim fertur nullos quidem mares filios habuisse, sed filias Aglaurum, Hersem, Pandrosum et Phœnicem; hanc autem Phœnicem, cum adhuc virgo esset, obiisse. Quamobrem Actæo literas phœniceas appellaverat; quod aliquid honoris filiæ tribuere vellet. Id. in Φοινίκεια Γράμματα. Quidam autem dicunt quod characteres elementorum apud nos usitatorum, a Mercurio in folio palmæ scripti hominibus missi sint; ideo literæ phœniceæ appellantur. Alii vero dicunt illas Phœnicum inventum esse; ac alii putant Phœnicem Achillis pædagogum illas invenisse. Dionys. Thrax apud de Villoison, in Anecd. Græc. T. II. p. 186. Nam et ipsæ phœniceæ literæ, juxta suum nomen, sicut et hæbraïcæ ad imitationem Hebræorum, a Phœnicibus inventæ sunt. Id. ib. p. 187. Et hæc quidem sic; sequentes vero versus Homeri :

» Πέμψε δέ μιν Λυκίηνδε, πόρεν δ' ὅγε σήματα λυγρά,
» Γράψας ἐν πίνακι πτυκτῷ θυμοφθόρα πολλά.

Iliad. L. VI. vers. 168 et 169. forte quidam ut demonstrationem consideraret literas et illo jam tempore notas fuisse. Huic tamen Eustathius non assentiri videtur. Dicit enim : τὸ σήματα γράψας ἐν πίνακι πτυκτῷ discernitur quidem a verbotinus aliquid mandare..... ab antiquissimo vero usu acceptum est. Usus enim τῶν γραμμάτων, a γράφειν, scribere, id est ξέειν, sculpare, proprie dictorum, novus est; item bene sculpta signa per colores imprimere, postea inventum est; etiam characterum usus posterioris temporis est inventus. Veteres autem, quale etiam Ægyptii faciebant, animalia quædam hieroglyphica, et alios characteres ad significanda illa quæ volebant, sculpando; sic et hi, quod etiam nonnulli posterorum Scytharum faciebant, quæ volebant, significabant, simulacra quædam, ac multifarias literarias incisiones inscribendo. Parecbol. II. p. 489. Edit. Basil.

(6) In Phædr. p. 356.

§. δ'. Εἰ δέ τις ἐξ ἀρχῆς τὰ πράγματα φυόμενα, καὶ εἰς ἀκμὴν ἐλαύνοντα, καὶ μειούμενα βλέψειεν, ὥσπερ τοῖς ἄλλοις ἅπασιν, οὕτω καὶ ταῖς φωναῖς αὐταῖς ταὐτὰ συμβαίνοντα εἴσεται (1). Πάντων γὰρ τῶν ἐθνῶν αἱ γλῶσσαι, εἴτε πρωτότυποι εἰσίν, εἴτε ἐξ ἄλλων παρήχθησαν, καὶ πάλαι ἐνδεεῖς λίαν τὴν ἀρχὴν καὶ ἄκοσμοι ἦσαν, τῇ τῆς παιδείας καταστάσει τῶν ἐθνῶν, ὑφ' ὧν ἐλαλοῦντο, ἀναλογοῦσαι, καὶ ὑπὸ τῶν ϛενῶν ὅρων τῶν κατ' ἐκεῖνα γνώσεων περατούμεναι· καὶ νῦν ἔτι τοιαῦται αἱ τῶν πάντη ἀπαιδεύτων λαῶν εἰσίν. Ἢν δέ τι ἔθνος τῶν ἀπαιδεύτων τέχναις καὶ ἐπιϛήμαις σχολάζειν ἀρξάμενον, τοῦ χρόνου προϊόντος, προκοπὴν μεγάλην ἐν ταύταις ποιήσηται· καὶ ἡ διάλεκτος ἀεὶ τῇ προόδῳ ταύτῃ ἀκολουθεῖ. Ἐκείνου δὲ μήτ' εἰς τὸ πρόσω ἔτι χωροῦντος, μήτ' εἰς ἣν εἴληχεν ἀκμὴν διαμένοντος, μᾶλλον δὲ παρακμάζειν κἀπὶ τὸ χεῖρον ῥέπειν ἀρξαμένου· καὶ ἡ φωνὴ τῇ αὐτῇ μεταπτώσει ὑπόκειται, ὥϛε μηκέτι λαλεῖσθαι, ἢ γράφεσθαι ὡς τὸ πάλαι, ἡνίκα αὐτὴ τὸ ἔθνος ἐν ἀκμῇ ὂν τῆς παιδείας ἐχρῆτο. Ἐπὶ τὸ χεῖρον οὖν κατὰ βραχὺ ἀποπίπτουσα, ἢ τὸ ἀρχαῖον κάλλος κατὰ τὸ πλεῖϛον μέρος ἀποβάλλει, καὶ τοιαύτη, οἵα ἡ Ἑλληνὶς ἐϛιν ἐν τοῖς καθ' ἡμᾶς Ἕλλησιν, ὅσοι πάντη εἰσὶν ἀναλφάβητοι, γίνεται (2)· ἢ λαλουμένη παντάπασι παύεται· ὃ δὴ τῇ Λατινίδι συνέβη, ὑπὸ μηδενός μεν ἔθνους νῦν λαλουμένῃ, ἐκ πολλοῦ δὲ χρόνου εἰς τὴν Ἰταλικήν, Γαλλικήν, Ἱσπανικήν, κ. τ. λ. μεταμορφωθείσῃ· ἢ τὸ τελευταῖον ὑπὸ τοῦ πανδαμάτορος χρόνου ἐπηρεασθεῖσα τὰ μέγιϛα, ἐς λήθην παντελῆ καταντᾷ· οἷον δὴ πολλαὶ τῶν ἀρχαίων φωνῶν πεπόνθασι.

(1) Ἰδὲ Ἀντιπανάκ. §. 49'. κ. τ. λ.

(2) Ποικίλην τινα δόξαν περὶ τῆς νεωτέρας Ἑλληνικῆς διαλέκτου ἔνιοι τῶν ἐν Εὐρώπῃ ἔσχον σοφῶν. Οἱ μὲν γὰρ μηδεμίαν πρὸς τὴν ἀρχαίαν Ἑλληνίδα ὁμοιότητα ἔχειν ἐκείνην ὑπέλαβον· οἱ δ' αὐτὴν μορφωθῆναι κατὰ τὴν Γαλλικὴν καὶ Ἰταλικὴν εἶπον· οἱ δ' ἔσχατον ἐξ ἀλλοτρίων λέξεων τὸ πλεῖϛον μέρος αὐτὴν συγκεῖσθαι διϊσχυρίζονται. Ὅσον δ' ἅπαντες ἐξηπάτηνται, καλῶς καὶ σοφῶς ὁ ἐλλόγιμος Π. Κοδρικᾶς ὁ Ἀθηναῖος ἀπέδειξεν ἐν τῷ πονηματίῳ αὐτοῦ, οὗ ἡ ἐπιγραφή. Παρατηρήσεις περὶ τῆς δόξης Ἑλληνιϛῶν τινῶν περὶ τῆς νεωτέρας Ἑλληνικῆς γλώσσης. Ἐν Παρισίοις. ἔτει ιϐ'. καὶ ὁ ἐλλόγιμος Ἀθ. Χριϛόπουλος ἐν τῇ γραμματικῇ τῆς τωρινῆς τῶν Ἑλλήνων γλώσσας. Ἐν Βιέννῃ.

§. 4. Si vero quis a principio res orientes, et in acmen progredientes, et diminuentes inspexerit: quemadmodum in aliis, sic etiam in linguis ipsis idem accidere inveniet (1). Omnium enim gentium dialecti, sive primitivæ, sive ex aliis derivatæ sint, admodum inornatæ in initio deficientesque erant, similem rationem cum statu eruditionis gentium easdem loquentium habentes; et ab angustis limitibus notionum earundem circumscriptæ; et nunc adhuc tales populorum penitus incultorum linguæ sunt. Si vero gens quædam inculta, artibus scientiisque operam navare incipiens, magnum progressum in easdem cum successu temporis faciat: lingua etiam semper vestigia progressus ejusdem implet. Si autem gens nec ulterius pergat; nec in acme, quam consecuta est, permaneat; imo vero decrescere, ac in pejus ruere incipiat: lingua etiam eadem mutatione affligitur; ita ut nec ore istam loquentium, nec in calamo scribentium talis sit, qualis hæc olim erat, dum gens in suo florente eruditionis statu eadem utebatur. Ad pejus igitur lingua paulatim vergendo, aut pristinam pulchritudinem maxima ex parte amittit, et talis, qualis modo lingua græca est, apud illos nempe hodiernorum Græcorum, qui penitus indocti sunt (2), evadit; aut nemo illam amplius loquitur; sicut hoc latino sermoni acciderat; quo jam dudum in Italicum, Gallicum, Hispanicum, etc. transformato, nequaquam gens aliqua utitur; aut demum a temporis violentia admodum læsa, in oblivionem penitus labitur; quod permulti priscorum sermonum passi sunt.

(1) Vide Antipanac. §. 99. etc.

(2) Multifariam opinionem de græca lingua recentiori nonnulli Europæ eruditorum habuerunt. Nam alii nullam cum prisca Græca similitudinem habere illam putarunt; alii formatam esse in speciem linguæ Gallicæ Italicæque dixerunt; alii demum ex alienigenis dictionibus eandem maxima ex parte constare contendunt. Quantum vero omnes decepti sunt, bene ac sapienter eruditus P. Codricas Atheniensis demonstravit in suo opusculo, cujus titulus : *Observations sur l'Opinion de quelques Hellénistes, touchant le grec moderne*. A Paris. An XII. Et eruditus A. Christopulus in Grammatica recentioris Græcorum linguæ. Viennæ Austriæ.

§. ε΄. Ταύτης δὲ τῆς κατ' αὔξησιν καὶ στάσιν καὶ παρακμὴν περιόδου καὶ τὴν ἑλλάδα φωνὴν πειραθῆναι συμφανὲς ἅπασιν. Ἡ γὰρ τῶν ἀρχαιοτάτων καὶ ἰθαγενῶν Ἑλλήνων διάλεκτος ἀτελὴς ἔοικεν οὖσα τὴν ἀρχὴν καὶ ἐνδεὴς καὶ ἄκοσμος, ἅτε δὴ τῶν αὐτὴν λαλούντων ἀπαιδεύτων παντάπασιν ὄντων, καὶ ληστρικὸν καὶ πλανήτην βίον βιούντων, καὶ ἐν ὄρεσι καὶ σπηλαίοις τὰ πολλὰ μοναδικῶς διαγόντων. Ἐπὶ Δαναοῦ οὖν, καὶ Κάδμου, καὶ ὅσοι ἄλλοι ἐξ Αἰγύπτου καὶ Φοινίκης καὶ ἀλλαχόθεν (1) εἰς Ἑλλάδα μετανάσται ἐγένοντο, ἡ τῆς ἑλληνικῆς παιδείας τε καὶ σοφίας ἐτέθη κρηπίς· πρὸς ὃ δὴ Κάδμος μάλιστα συμβαλόμενος φαίνεται. Οὗτος γὰρ, ἐκτὸς τῶν ἄλλων, καὶ τὰ Φοινίκων γράμματα εἰς Ἑλλάδα μετακομισάμενος, τοὺς ἰδίους ὑπηκόους ἐδίδαξε, κἀκ τῆς θηριώδους καὶ ἀγρίας διαίτης εἰς βίον ἥμερον καὶ τεταγμένον μετέστησε, καὶ τὴν αὐτῶν διάλεκτον πολλαῖς λέξεσι τῶν πραγμάτων, ἃ αὐτοὺς ἐδίδαξε, σημαντικαῖς ἐπλούτισεν· ἃ δὴ κατὰ βραχὺ εἰς ἅπαν τὸ Ἑλληνικὸν διεσπάρησαν.

§. ς΄. Ὡς δὲ σπινθὴρ πυρὸς, ὕλῃ ξηρᾷ καὶ εὐκαεῖ ἐμπεσὼν, μεγάλην καὶ ἐξαίσιον ἐν ἀκαρεῖ χρόνῳ ἐξαίρει φλόγα· οὕτω καὶ τὰ μικρὰ ταῦτα τῆς παιδείας ἐναύσματα, ψυχαῖς τῇ σοφίᾳ προσφυέσι προσομιλήσαντα, μεγίστην ἔσχε παραυτίκα τὴν εἰς τὸ κρεῖττον ῥοπήν. Πληθὺς γὰρ ἐν πάσῃ τῇ Ἑλλάδι ἀνέφυ σοφῶν, οἳ καὶ τὰς ἐπιστήμας, ἃς ἐξ ἄλλων παρέλαβον, ἐπὶ μέγα προήγαγον βελτιώσεως, καὶ τὰς μὴ οὔσας ἐφεῦρόντε καὶ ἐπεξειργάσαντο· ὥστε Χαλδαίους μὲν καὶ Αἰγυπτίους, οἷς παῖδες ἐδόκουν (1), πολλῷ τῷ μέσῳ ὑπερβαλεῖν, πολλῶν δ' ἐθνῶν καθηγητὰς γενέσθαι ἐν ἅπασι. Καὶ ἵνα τ' ἄλλα παρῶ, Ποιηταὶ μὲν, ὡς Ὀρφεὺς, Μουσαῖος, Ὅμηρος, Ἡσίοδος, Αἰσχύλος, Σοφοκλῆς, Εὐριπίδης, Πίνδαρος, κ. λ. εἰς τὸν ὑπέρτατον τοῦ ἐμμέτρου λόγου βαθμὸν τὴν ἑλλάδα φωνὴν ἀνύψωσαν· Συγγραφεῖς δὲ, ὡς Ἡρόδοτος, Θουκυδίδης, Ξενοφῶν, Ἰσοκράτης, Δημοσθένης, Πλάτων, Ἀριστοτέλης, καὶ ὅσοι ἄλλοι ἐπὶ τοῦ χρυσοῦ ἐκείνου αἰῶνος ἐγένοντο, τὴν τοῦ πεζοῦ λόγου κορωνίδα αὐτῇ ἐπέθηκαν, ὥστε τὴν καλλίστην φωνῶν ἁπασῶν γενέσθαι, καὶ θείαν φωνὴν πρὸς

(1) Ἴδε Στράβ. Β. Ζ΄. σ. 310. Ἐν Βασιλείᾳ. 1549.

(1) Πλάτ. ἐν Τιμ. σ. 524.

Digitized by Google

§. 5. Linguam vero etiam græcam eandem progressus, status, decrementique periodum habuisse omnibus est prospicuum. Indigenarum enim priscorumque Græcorum sermo imperfectus, ut videtur, deficiens inornatusque olim erat; siquidem illi, qui eum loquebantur, in magna ignorantia versabantur, vitam prædatoriam erraticamque gerebant, et solitarii in montibus ac speluncis vivebant. Primum igitur græcæ eruditionis ac sapientiæ fundamentum sub Danao, et Cadmo, et aliis, qui ex Phœnice, ac Ægypto, ac aliunde in Græciam transmigravere (1), positum est; cui magis Cadmus contulisse videtur. Hic enim præter alia etiam literas Phœniceas ad Græciam transferendo, suos subjectos docuit; ab agrestique vita ac more in vitam mansuetam ac cultiorem traduxit; ac linguam eorum multis dictionibus rerum, quas illos docuit, significativis, ditavit; quæ paulatim in totam Græciam diffusa sunt.

§. 6. Quemadmodum vero ignis scintilla, in materiam siccam accensuque facilem incidens, magnam exsuperantemque brevi tempore extollit flammam; sic etiam exigui isti eruditionis fomites animis sapientiæ idoneis immissi, maximam statim propensionem in melius nacti sunt. Multitudo enim in omni Græcia sapientium orta est, qui et scientias, quas illos alii docuerunt, in magnam acmen protulerunt; et illas quæ nondum erant invenerunt ac perfecerunt : ita ut Chaldæos quidem ac Ægyptios, quibus pueri videbantur (1), multo intervallo superaverint; multarum vero gentium præceptores in omnibus fuerint. Ac ut cætera omittam : Poëtæ quidem, ut Orpheus, Musæus, Homerus, Hesiodus, Aschylus, Sophocles, Euripides, Pindarus, etc. ad altissimum Poëtices gradum græcam linguam extulerunt; Scriptores vero, ut Herodotus, Thucydides, Xenophon, Isocrates, Demosthenes, Plato, Aristoteles, cæterique omnes, qui aureo illo seculo floruere, prosæ orationis coronidem illi posuerunt : ita ut omnium linguarum optima evaserit, ab omnibusque deorum

(1) Vide Strab. L. VII. p. 310. Basil. 1549.

(1) Plat. in Tim. p. 524.

πάντων ἀποκαλεῖσθαι. Τῶν δ' ἑλληνικῶν πραγμάτων ὕστερον εἰς τὸ χεῖρον ῥέπειν ἀρξαμένων, καὶ ἡ διάλεκτος, ἔντε τῷ ἐμμέτρῳ καὶ πεζῷ λόγῳ, ἐκ τῆς πρώτης ἀποπεσοῦσα λαμπρότητος, βαθμηδὸν ἀεὶ τῷ ἔθνει ταπεινουμένῳ συνεταπεινοῦτο· καὶ τὸ τελευταῖον δεινῇ καὶ δυσοίστῳ, ὡς οὐκ ὤφελε! δουλείᾳ τούτου ὑποπεσόντος, κἀκείνη παραπολὺ τῆς ἀρχαίας δόξης ἀπέστη.

§. ζ'. Τοσούτοις δὲ δεινοῖς τὸ τῶν Ἑλλήνων γένος περιπεσὸν, ὅμως οὐδέποτε, οἵων ἐςὶ προγόνων ἐπιλαθόμενον, τῆς ἐκείνων σοφίας ἀνεράστως γε ἔσχεν· ἀλλὰ καὶ τὴν πατρῴαν πως φωνὴν διεφύλαξε (§. δ'. σημ. 1), καὶ ἀεὶ ἐπὶ καιρῶν ἄνδρας ἐξήνεγκεν ἄλλης τε παιδείας εὖ ἥκοντας, καὶ τῆς ἀρχαίας φωνῆς ἐς τὸ ἀκριβὲς τρίβωνας· ὥςε τὸν τῶν ἐκείνοις συγγραφέντων ἑλληνισμὸν τῷ τοῦ ἀργυροῦ, ἢ χαλκοῦ αἰῶνος συγκριθῆναί πως δύνασθαι. Μάλιστά δ' ἐξ ἡμισείας πέριξ ἑκατοστύος μεγάλη ἐγένετο ἐπὶ τὸ κρεῖττον μεταβολή. Ἐκ τούτου γὰρ καὶ ὁ τῶν πεπαιδευμένων ἀριθμὸς ηὔξησε, καὶ ἡ ἐθνικὴ γλῶσσα βελτιοῦσθαι ἤρξατο. Ἀεὶ γὰρ παρὰ τῶν συγγραφόντων ἐν αὐτῇ ἀπὸ τῶν ἀλλοτρίων λέξεων, καὶ τῶν χυδαίων φράσεων καθαιρομένη, ἦμαρ ἐπ' ἦμαρ τῆς ἀρχαίας αὐτῆς δόξης ἐγγυτέρω γίνεται. Ἐλπὶς οὖν ὑπολείπεται πάντας Ἕλληνας εἰς τὴν τῶν Προγόνων, ὅσον τοῦτο ἐφικτὸν ἐστὶ, παλινδρομήσειν φωνὴν καὶ παιδείαν, ἣν θείᾳ ἀρωγῇ πάντων τύχωσι, δι' ὧν καὶ τὰ ἔτι ἀπαίδευτα τῶν ἐθνῶν βελτιοῦσθαι· καὶ τὰ εἰς ἀμάθειαν ἐκ παιδείας μεταπεσόντα, εἰς τὴν ἀρχαίαν δόξαν παλινδρομεῖν ἔχουσιν (1).

§. η'. Ἀλλὰ τὸ ἄρτως κατὰ τὴν βουκολικὴν κύνα μαντεύεσθαι τό γε νῦν ἔχον ἐῶντες, πρὶν ἢ εἰς τὰ κυριώτερα τῆς προθέσεως χωρῆσαι, μικρὸν τοῖς ἑλληνικοῖς γράμμασι προενδιατρίψωμεν, τὴν ἀρχὴν τούτων καὶ παραγωγὴν ἐκτιθέντες. Τῶν ἑλληνικῶν οὖν στοιχείων τὰ πλείω κατ' ἄλλους μὲν ἐκ τῶν ἑβραϊκῶν (1),

(1) Μέτιθι τὸν πρόλογον τῆς τοῦ Μεσγέρου Ἀνθρωπολογίας· καὶ τὴν Νεοφύτου Δούκα Β'. Ἀπολογίαν.

(1) Τὸ α ἐκ τοῦ ἑβραϊκοῦ ἄλεφ φασὶ τὴν ὀνομασίαν λαβεῖν, τὸ β ἐκ τοῦ βέθ, τὸ γ ἐκ τοῦ γίμελ, τὸ δ ἐκ τοῦ δάλεθ, τὸ ε, ὃ οὐδεμίαν ὀνομασίαν ἰδίαν ἔχει, ἐκ τοῦ ἓ, τὸ ζ οἱ πλείους μὲν ἐκ τοῦ ζαΐν, τινὲς δὲ ἐκ τοῦ τζέδε παράγεσθαι νομίζουσι, τὸ η ἐκ τοῦ ἔθ, τὸ θ ἐκ τοῦ θέθ, τὸ ι ἐκ

lingua appellaretur. Cum autem postea res Græcorum in pejus pergere inceperint; lingua etiam in utroque orationis genere a priori suo splendore gloriaque dilapsa, semper gradatim una cum natione depressa deprimebatur; et demum malæ ac intolerabili servituti, quod utinam non accidisset! gente subjecta, lingua etiam a prisca sua gloria valde remota est.

§. 7. Quanquam tamen in tot calamitates gens Græca inciderit; nunquam autem, illustribus majoribus oblivioni datis, amorem erga sapientiam eorum non habuit. Nam et linguam paternam quodam modo conservavit (§. 4. adnot. 1.); et quolibet tempore viros produxit tum alias doctrinas, cum priscum sermonem bene calentes: ita ut ab illis scriptorum operum græcismus cum illo argentei vel ænei seculi comparari quodam modo valeat. Attamen a dimidio circiter seculo magna in melius mutatio facta est. A hoc enim tempore et eruditorum numerus adauctus est; et lingua nationalis in melius pergere incepit. Nam a scribentibus in illa vocibus alienigenis vulgaribusque locutionibus semper repurgata, continuo ad pristinam suam gloriam própius accedit. Sperandum igitur est omnes demum Græcos ad majorum suorum linguam eruditionemque, in quantum hoc fieri potest, recursuros esse, si favente Numine omnia illa adipiscantur, ope quorum et nationes adhuc incultæ ad melius procedere; et quæ ex eruditione in ignorantiam lapsæ sunt, ad priscam gloriam recurrere possunt (1).

§. 8. Ast panem, juxta Bucolici canem, præsagire nunc omittendo, antequam in præcipuum scopum procedamus, Græcis literis paulum immorandum, ac originem earum derivationemque exponendum est. Maxima igitur Græcorum elementorum (1) pars secundum nonnullos a Hebraïcis, juxta alios

(1) Vide Præfation. Anthropolog. Metzgeri, ac Neophyti Ducæ Defensionem II.

(1) A dicunt a hebraïco aleph denominationem trahere, β a beth, γ a gimel, δ á daleth, ε, quod nullum proprium nomen habet, ab ê, ζ plerique a zain, nonnulli vero a zede, η ab eth, θ a theth, ι a joth, κ a caf, λ a lamed, μ a mem, ν a nun, ξ a sin vel schin, ο nullum proprium nomen habet, neque, jux-

κατ' ἄλλους δὲ ἐκ τῶν φοινικείων γραμμάτων παράγονται (2 · καὶ τὰ μὲν ἑξῆς ἑκκαίδεκα α, β, γ, δ, ε, ι, κ, λ,

τοῦ ἰώδ, τὸ κ ἐκ τοῦ κάφ, τὸ λ ἐκ τοῦ λάμεδ, τὸ μ ἐκ τοῦ μέμ, τὸ ν ἐκ τοῦ νούν, τὸ ξ ἐκ τοῦ σὶν, ἢ σχὶν, τὸ ο οὐδεμίαν ἔχει ἰδιαιτέραν ὀνομασίαν, οὐδ' ἐκ τινος ἑβραϊκοῦ στοιχείου κατὰ τοὺς πλείους παράγεται· τὸ π ἐκ τοῦ πὲ, τὸ ρ ἐκ τοῦ ῥὲς, τὸ σ ἐκ τοῦ σάμεχ, τὸ τ ἐκ τοῦ ταῦ, τὸ υ ὡσαύτως οὐ καλεῖται ἰδιαιτέρως, οὐδὲ παράγεται ἐκ τῶν ἑβραϊκῶν, τὸ φ ἐκ τοῦ φὲ, τὸ χ ὁμοίως ἐκ τῶν ἑβραϊκῶν οὐ παράγεται, οὐ μὴν ἀλλὰ οὐδὲ τὸ ψ, καὶ ω. Ἴδε Εὐσέβ. Εὐαγ. ἀπ. Β. Ι΄. κ. ε΄. Καὶ ταῦτα μὲν οὕτως· ἀλλ' ἐπεὶ τὰ τρία διπλᾶ σύμφωνα ζ, ξ, ψ πολλοῖς ἔτεσιν ὕστερον, ἐξ ἄλλων προϋπαρχόντων συντεθέντα, τῷ ἑλληνικῷ ἀλφαβήτῳ προσετέθησαν, ἆρ' οὐκ ἔστι πιθανὸν ὡς καὶ ταῦτα ἐκ τῶν ἑβραϊκῶν οὐ παράγονται, καίπερ ἐκείνων τισὶν ἰσοδυναμοῦντα; Ὃ δὴ οὐκ ἂν ἁμάρτοι τις καὶ περὶ τῶν λοιπῶν ὑστεροχρόνων γραμμάτων ὑποτοπάσας. Εἰ μή τις εἴποι τοὺς ταῦτα εἰσαγαγόντας εἰδήμονας τῆς Ἑβραίων, ἢ Φοινίκων φωνῆς πεφυκέναι, καὶ καθ' ὁμοιότητα ἐκείνων αὐτὰ ὀνομάσαι. « Ἀλλ' ὥσπερ τῶν στοιχείων οἶσθα ὅτι ὀνόματα λέγομεν, ἀλλ' οὐκ αὐτὰ τὰ στοιχεῖα, πλὴν τεττάρων, τοῦ ε, καὶ υ, καὶ ο, καὶ ω, τοῖς δ' ἄλλοις φωνήεσί τε καὶ ἀφώνοις οἶσθα ὅτι περιτιθέντες ἄλλα γράμματα λέγομεν, ὀνόματα ποιοῦντες » Πλάτ. ἐν Κρατύλ. σ. 261. Ἐκ τούτων καταφαίνεται ὡς ἡ λέξις ψιλὸν τῷ ε, καὶ υ, καὶ ἡ μικρὸν, καὶ μέγα τῷ ο, καὶ ω ὑπὸ τῶν ὕστερον προσετέθησαν· ἀλλά γε ὁ αὐτὸς Πλάτων ἀλλαχοῦ τὰ ἐναντία φησί. « Διὸ κατανενόηκα νῦν μοι τάς τε ἐκφωνήσεις τῶν γραμμάτων καὶ τὰ ὀνόματα, παράδοξόν τι ἐφάνη κατηκολουθηκέναι τοῖς γράμμασιν, ἐκ πάντων φημὶ τοῦ α, καὶ τοῦ β, τῇ τε τοῦ ὀνόματος αὐτῶν συνελεύσει, καὶ τῇ ἐκφωνήσει. Τούτων γὰρ μόνων μᾶλλον τὸ ὄνομα ὁμοφώνως τῇ ἐκφωνήσει, καὶ τὴν ἐκφώνησιν ὁμοφώνως τῷ ὀνόματι φθεγγόμεθα. Διομήδ. ἐν Σχολ. εἰς Διον. τὸν Θρᾷκα παρὰ Villois. ἐν Ἀνεκδ. Ἑλλ. σ. 86.

(2) Ὁ Μελέτιος φησὶν ὡς οἱ πάλαι Ἕλληνες τὰ ἑαυτῶν γράμματα ἠπατημένως φοινίκεια ἀπεκάλεσαν, δέον αὐτὰ ἑβραϊκὰ ὀνομάσαι ἅτε δὴ τῶν Ἑβραίων, οὓς ἐκεῖνοι ἠγνόουν, τὰ γράμματα ἐφευρόντων, τῶν δ' Ἑλληνικῶν γραμμάτων ἐκ τῶν Ἑβραϊκῶν παραγομένων. Εἰ δικαίως οὗτος τὴν ἄγνοιαν τῶν ἀρχαίων Ἑλλήνων κατεγνώσκει, ἄξιόν ἐστιν ἐξετάσαι. Καίτοι γοῦν οὐδεὶς, ὅσα γε κἀμὲ εἰδέναι, τῶν νῦν σωζομένων Ἑλλήνων συγγραφέων τοῦ χρυσοῦ αἰῶνος (οὐ γὰρ εἰς Πλούταρχον, καὶ τοὺς μικρὸν πρὸ αὐτοῦ γεγονότας ὁ λόγος τείνει) ὀνομαστὶ τοῦ ἰουδαϊκοῦ λαοῦ μέμνηται, συμφανὲς μέντοι γε οὐχ ἧττόν ἐστιν ὡς καὶ οἱ ἀρχαιότατοι Ἕλληνες τοὺς Ἑβραίους ἐγίνωσκον, καὶ μάλιστα Ὀρφεὺς, Ὅμηρος, Θαλῆς, Σόλων, Πυθαγόρας, Δημόκριτος, Πλάτων, καὶ ὅσοι ἄλλοι ἐν τῇ Αἰγυπτίων, καὶ Χαλδαίων χώρᾳ, καὶ ἐν τῇ λοιπῇ Ἀσίᾳ ἐγένοντο (Μάνθανε Διόδ. Σικελ. Β. Α΄. ἐν τῷ τέλει), ὧν τινὰς καὶ τὰς ἱερὰς τῶν Ἑβραίων βίβλους ἀνε-

Καὶ τὸ τοῦ λατίνου ποιητοῦ. » Ἓν πάλαι ἦν γράμμα, δι' οὗ οἱ Λάκωνες ἀπεκρίνοντο, καὶ τῷ ἐν ὀργῇ ὄντι βασιλεῖ ἀποφάσκοντες ἤρεσκον (ο δηλαδὴ ἀντὶ οὔ.» (Παρὰ Μεκέρχ. ἔνθ. ἀν. σ. 84.) Ὁ δὲ Ἀθήναιος φησὶν (ἔνθ. ἀν.) ὡς οἱ παλαιοὶ πολλάκις τῷ ο ἀντὶ τῆς ου διφθόγγου ἐχρῶντο· » Διονύσο, ἀντὶ Διονύσου, ἐν τούτοις λείπει τὸ υ ϛοιχεῖον· ἐπεὶ πάντες οἱ ἀρχαῖοι τῷ ο ἐχρῶντο, οὐ μόνον ἐφ' ἧς ἀποδέδεκται δυνάμεως, ἀλλὰ καὶ ὅτε τὴν δίφθογγον σημαίνει, διὰ τοῦ ο μόνον γράφουσιν. » Ὁ δ' Ἀβερκάμπιος ὑπείληφεν (ἔνθ. ἀν. σ. 260) ὡς οἱ πάλαι τὸ ο μικρὸν ἔγραφον μὲν ο, προέφερον δὲ ὡς ου.

(5) Τὸ σίγμα τῷ ι παραλήγει. Τὰ γὰρ εἰς α λήγοντα ὀνόματα τῶν ϛοιχείων ἑνὶ φωνήεντι θέλει παραλήγεσθαι· οἷον ἄλφα, βῆτα, γάμμα, δέλτα. Βαρῖν. ἐν ἀρχῇ τοῦ Σ.

(6) Μεκέρχ. ἐν Συλ. κ. τ. λ. σ. 91.

(7) Βαρῖν. ἐν ἀρχῇ τοῦ Χ.

(8) Τῶν κδ'. ϛοιχείων, τὸ μῦ, καὶ τὸ νῦ, καὶ τὸ ῡ, ἐκτεταμένον ἔχουσι τὸ δίχρονον, καὶ περισπῶνται· καὶ τὰ ἄλλα δὲ τὰ εἰς μονοσύλλαβα· καὶ δίφθογγον ἔχει τὴν συλλαβὴν, καὶ περισπᾶται· οἷον φεῖ, ψεῖ, χεῖ· τὸ δὲ ω δῆλον ὅτι περισπᾶται. Τῶν δὲ δισσυλλάβων ὅσα μὲν ἔχει τὴν παραλήγουσαν μακρὰν, φύσει περισπαται· οἷον βητα, θῆτα, ἦτα· ὅσα δὲ μὴ, παροξύνεται· οἷον ἄλφα, κάππα, δέλτα. Ἑλλάδιος παρὰ Φωτ. Βιβλιοθ. σοθ. Ἐκ τούτων οὖν πρόδηλον ὡς τὸ φ, χ, ψ πάλαι ἐδιφθογγογραφοῦντο. Ἀρ' οὐ πιθανόν ἐϛιν ὡς καὶ τὸ ξ, καὶ π πάλαι διὰ τῆς ει ἐγράφοντο;

(1) Εὐϛάθ. Παρεκβ. Ἰλ. ἐν ἀρχῇ τοῦ Δ.

dorice; ταῦ, υ ψιλὸν, quod Virgilius literam Pythagoræ vocabat (6); φῖ, χῖ, quod et ἔχι (7); ψῖ (hæc vero tria olim per ει scribebantur) (8); ω μέγα (§. 8. adnot. 1).

§. 13. Denominationum autem literarum antiquitatem vel superscriptiones Iliadis Odysseæque rapsodiarum demonstrant; quibus a Grammatico Aristarcho, et Zenodoto, jussu Pisistrati Atheniensium Tyranni, ut ajunt, sic distributis, singulæ sectiones literarum nominibus ab iisdem nuncupatæ sunt (1); verisimileque est inscriptiones uno versu conceptas, quæ exstant, cuilibet sectioni eosdem addidisse.

§. 14. Elementorum vero nomina sunt indeclinabilia, duobus, σ nempe, et γ, exceptis. Invenitur enim apud priscos et genitivus singularis σίγματος, et nominativus pluralis σίγματα apud Xenophontem. Porro est γάμματα apud eundem; et σιγμάτων

» Nomen θῆτα, ῥῶ, ἄλφα, σὰν, υ, μῦ, ἄλφα, χῖ, ὦ, σὰν.
» Patria Chalcedo, ars vero sapientia.
Et hoc latini poëtæ.
» Una fuit quondam, qua respondere Lacones,
» Littera, et irato regi placuere negantes.
(Apud Mekerch. l. c. p. 84). Athenæus vero asserit (l. c.) quod multoties veteres litera ο etiam pro ου diphthongo utebantur. » Διονύσο, pro Διονύσου; in his caret litera υ; quia omnes veteres utebantur ο non solum in vi, quam habet; verum etiam dum diphthongum significat, per ο solum scribunt. » Havercampus autem putavit (l. c. p. 260) veteres scripsisse quidem ο; hoc vero ut ου pronunciasse.

(5) Σίγμα in penultima habet ι. Nam elementorum nomina in α desinentia, unam vocalem in penultima habere postulant; ut ἄλφα, ζῆτα. γάμμα, δέλτα. Varin. in initio Σ.

(6) Mekerch. in Syllog. etc. p. 91.

(7) Varin. in initio X.

(8) Ex viginti quatuor literis μῦ, νῦ, et ῦ productam habent dichronum vocalem, et circumflectuntur; cæteræ etiam, quæ in unisyllaba desinunt, diphthongum habent, et circumflectuntur, ut φεῖ, ψεῖ, χεῖ; etiam ῶ certe circumflectitur. Ex disyllabis vero, quæ penultimam longam habent, natura circumflectuntur, ut ζῆτα, θῆτα, ἦτα; quæ vero minus, in penultima acuuntur, ut ἄλφα, κάππα, δέλτα. Hellad. apud Phot. Bibliothec. CCLXXIX. Ex hisce igitur patet quod olim φ, χ, ψ per diphthongum scribebantur. An non sit verisimile quod etiam in ξ, et π olim ει uterentur?

(1) Eustath. Parecbol. Il. in initio A.

των παρὰ τῷ κωμικῷ Πλάτωνι (1). Ἀλλὰ περὶ μὲν τούτων, ἐξωτερικωτέρας ἴσως σκέψεως ὄντων, πεφροιμιάσθω τοσαῦτα.

§. ιε'. Ἤδη δὲ καιρὸς ἂν εἴη, τὸν πῶλον περὶ τὴν νύσσαν, τὸ τοῦ λόγου, κεντοῦντας, περὶ τῆς τῶν στοιχείων ἐκφωνήσεως κατὰ τὸ ἡμῖν ἐφικτὸν ἐπελθεῖν, ἐπισκέψασθαί τε ἐπ' ἀκριβείας, τίνες ὀρθότερον, καὶ μᾶλλον τοῖς ἀρχαίοις τῶν Ἑλλήνων συμφώνως αὐτὰ προφέρουσιν· οἱ ἀλλογενεῖς, οἱ τὸν Ἕλληνα λόγον ἐκ τῶν βίβλων μανθάνοντες· ἢ οἱ τῶν Ἑλλήνων ἀπόγονοι, οἱ ἐξ ὁμογενῶν διδασκάλων, ἐπαλλήλως ἐκ τῶν πατέρων τὴν προφορὰν διαδεξαμένων, αὐτὸν διδασκόμενοι· καὶ τῇ διεφθαρμένῃ μὲν, ἀλλ' ἐν τοῖς πλείστοις τῇ ἀρχαίᾳ Ἑλληνίδι ὁμοίᾳ, φωνῇ ἔτι χρώμενοι (§. δ', καὶ ζ'.). Τοῦτο δὴ δράσομεν, διελθόντες μικρὸν ἔτι περί τινων, ἃ πρὸ ὁδοῦ ἡμῖν ἔςαι εἰς τὰ ὕςερον ῥηθησόμενα.

§. ιϛ'. Α'. Τοίνυν φαμὲν ὡς οὐ πολλοῦ λόγου ἄξια εἶναι τὰ παραδείγματα κρίνομεν, οἷς οἱ ἐναντίοι ἐξ ἄλλων διαλέκτων λαμβάνοντες, εἰς ἀπόδειξιν τῆς τῶν ἑλληνικῶν γραμμάτων ἐκφωνήσεως χρῶνται. Εἰ οὖν τισι τούτων ἐν τοῖς ἑξῆς χρησώμεθα, ἤτοι ὑπερακριβῆ καὶ ἀναντίῤῥητα αὐτὰ ἔςαι, ἢ ἐκ περιουσίας ἀποδείξεων τῶν γενναιοτέρων προσεπιμέτρησις.

§. ιζ'. Β'. Οὐδοτιοῦν ἡμῖν ἀρέσκει τὸ πρὸς τῶν ἐναντίων πραττόμενον, οἳ τὴν ἑλληνικῶν λέξεων διὰ λατινικῶν στοιχείων ἔκθεσιν, ἢ ἔμπαλιν, ἀναμφήριστον ἀπόδειξιν τῆς προφορᾶς οἴονται. Αὕτη γὰρ ἡ τῶν λέξεων ἐκ φωνῆς εἰς φωνὴν μετάβασις, νῦν μὲν, λόγῳ τῆς τῶν στοιχείων ἐν ἑκατέρᾳ διαλέκτῳ τάξεώς τε καὶ συγγενείας, νῦν δὲ, τῆς ἐκείνων ποιότητος γίνεται (1). Ἐν οὐκ

(1) Ἐνρ. Στέφ. ἐν Θησαυρ. τῆς ἑλλ. Διαλ. ἐν ἀρχῇ τοῦ Α. Ὁ δ' Ἑλλάδιος φησίν. (ἔνθ. ἀν.) » Πάντα τὰ γράμματα εἰσὶν ἄκλιτα. Διὸ καὶ τὸ παρὰ τῷ Ξενοφῶντι ἐν τοῖς Ἑλληνικοῖς εἰρημένον οὐχ ὑφ' ἓν τὰ σίγματα τῶν ἀσπίδων ἀναγνωςέον, ἀλλὰ δισυλλάβως μὲν τὰ σίγμα, καὶ ἀπ' ἄλλης ἀρχῆς τὰ τῶν ἀσπίδων κατὰ διάςασιν. »

(1) Οὕτω γὰρ ἔγωγε μᾶλλον νομίζω καὶ ὑποτίθημι, ὡς πολλὰ ἐν ταῖς δὲ ταῖς τρισὶ διαλέκτοις (Ἑβραϊκῇ, Ἑλληνικῇ, καὶ Λατινικῇ) πρὸς ἄλληλα μεταβάλλονται, οὐκ ἐπεί γε τὸν αὐτὸν τρόπον ἐκφέρονται, ἀλλ' ὅτι ταῦτα τὰ γράμματα ἀλλήλοις ἀμοιβαίως ἀναλογεῖ, οἷον τὸ βὲθ, ϐ, καὶ b. Διὸ καὶ οἱ τῶν τριῶν τῶν δὲ φωνῶν εἰδήμονες, ἡνίκα τούτων τινὰ ἀλλοτρίοις χαρακτῆρσιν ἐκτιθέναι βούλονται, τοῖς ςοιχείοις ἐν τῇ δὲ τῇ μεταλλαγῇ χρῶνται, ἃ μείζω συγγένειαν, λό-

apud Platonem comicum (1). Sed de his, cum fortasse minus nostro scopo propria sint, hactenus.

§. 15. Nunc autem tempus esset, equulum, ut ajunt, versus metam pungendo, de elementorum prolatione pro facultate nostra disserere, exacteque indagare, quinam sint, qui rectius, ac vetustis Græcis magis concorditer illa pronuncient: alienigenæ, qui græcum sermonem ex libris discunt; aut Græcorum oriundi, qui ex consanguineis præceptoribus, per successionem a majoribus prolationem accipientibus, eundem docentur; et corrupta quidem, sed in permultis priscæ simili lingua græca adhuc utuntur (§. 4, et 7). Quod quidem faciemus, narratione prius de nonnullis facta, quæ nobis de postea dicendis utilitati inservitura sunt.

§. 16. I. Igitur dicimus quod non magni momenti esse exempla nobis videantur, quibus contrarii ex aliis dialectis depromptis, ad demonstrandam græcarum literarum pronunciationem utuntur. Ac si nonnullis eorum in sequentibus utamur: aut hæcce exactissima ac incontestabilia erunt; aut ex abundantia demonstrationum clariorum accessoria.

§. 17. II. Nequaquam nobis, quod contrarii faciunt, placet, qui græcarum dictionum per literas latinas expositionem, vel e contra, demonstrationem indubitatam prolationis esse putant. Hicce enim vocum ex lingua in linguam transitus nunc quidem ratione elementorum in utraque lingua ordinis ac cognationis; nunc vero ratione qualitatis eorum fit (1). In non paucis autem latinarum dictionum per ele-

(1) Henr. Seph. in Thesaur. ling. græc. in initio A. Helladius autem (l. c.) dicit.» Omnia elementa indeclinabilia sunt. Ideo quod apud Xenophontem in Hellenicis occurrit, non contracte τὰ σίγματα τῶν ἀσπίδων legendum est, sed σίγμα in duabus syllabis; et alio initio facto, τὰ τῶν ἀσπίδων per disjunctionem. »

(1) Sic enim existimo potius, atque sic statuo, plurima in his tribus linguis (Hebraica, Græca, et Latina) in se invicem transmutari; non quod eodem modo efferantur; sed quod hæ literæ sibi invicem respondeant in illa serie elementorum. Dico exempli gratia beth, β, b. Qua ex re homines trium linguarum periti, cum alteram istarum alienis characteribus exprimere voluerunt, eas inter se literas vicissim transtulerunt, quæ majo-

ὀλίγοις δὲ ἡ τῶν λατινικῶν λέξεων δι' ἑλληνικῶν ςοιχείων ἔκθεσις οὐ συμφώνως τοῖς λατινικοῖς γράμμασιν, ἀλλ' ὡς ἦν τῇ ἑλληνικῇ φωνῇ προσφυέστερον γέγονε. Τὸ a secretis οὖν Ἀσηκρῆτις Σουίδας λέγει, καὶ Πρωτασηκρῆτις Ζωναρᾶς, καὶ Κεδρηνὸς, καὶ τὸ Cocceianus Κοκκηϊανὸς Πολύβιος, καὶ τὸ Census Κινσὸς Ἡσύχιος (2). Καὶ τὸ Virgilius δὲ, καὶ ὅσα τοιαῦτα, οἱ μὲν διὰ τοῦ β, οἱ δὲ διὰ τῆς ου γράφουσι (3).

γῳ τῆς θέσεως, καὶ τῆς ἀξίας, καὶ τοῦ σχήματος (εἰ καὶ τοῦτο προσφυὲς τῷ πράγματι εἴη) πρὸς ἄλληλα ἔχοντα, εἰς τὸν ἴδιον τόπον ἕκαςα ἀναφέρεται. Γρηγόρ. Μαρτῖνος ἐν Συλλογ. κ. τ. λ. σ. 584. Οὐδεμίαν ἰσχὺν ἔχει ἐν τῇ προφορᾷ τὸ ἐκ τῆς μεταβάσεως τῶν γραμμάτων συμπέρασμα. Πολλάκις γὰρ τὰ τῶν Ἑλλήνων γράμματα μεταβαίνουσιν εἰς τὰ τῶν Λατίνων, καίπερ τῆς τούτων δυνάμεως διαφέροντα. Π. χ. τὸ ε, ἐνίοτε μὲν εἰς e βραχὺ μεταβαίνει· ὡς ἐγὼ, ego· γένος, genus· ἐνίοτε δὲ εἰς e μακρόν· ὡς ἕδος, sedes· ἐνίοτε εἰς o· ὡς νέος, novus· Κέρκυρα, Corcyra· ἐνίοτε εἰς i· ἐντὸς, intus· τέγγω, tingo· ἐνίοτε εἰς u· ἑνὸς, unus· τεὸς, tuus. Ἀρ' οὖν δεῖ τοὺς Ἕλληνας τὸ ε ὡς o, ἢ i, ἢ u προφέρειν; Ὅτι δὲ τὸ η παρὰ τοῖς Λατίνοις εἰς e μακρὸν μεταβαίνει, οὐκ ἔςι γενικῶς ἀληθές. Μεταβαίνει γὰρ ὡσαύτως καὶ εἰς e βραχὺ, καὶ εἰς u, καὶ εἰς o, καὶ εἰς i μάλιςα. Πατὴρ, pater· φὴρ, fera· ἦρος, herus· σίνηπι, sinapi· φήμη, fama· κῆρ, cor· Σκηπίων, Scipio· ψήττα, psitta· ἐσθὴς, vestis. « Ἔρασμ. Σμίδιος ἐν Συλλογ. σ. 663. Γεννητὸς, genitus· γεννήτωρ, genitor· δμήτωρ, domitor· δμητὸς, domitus· ῥῆγμα, rima. κ.τ.λ. Γ. Πλακεντ. Ἐνθ. ἀν. σ. 125. ὑποδιαςολὴ, hypodiastoli, παρὰ Φωκᾷ τῷ Γραμματικῷ.

(2) Κηνσὸς βοτάνη τις, τὸ δὲ τέλος κινσὸς διὰ τοῦ ι.

(3) Τοῦτον τὸν βωμὸν ὁ Οὐαλέριος εὑρὼν, καὶ τὴν θυσίαν καὶ τὰς παννυχίδας ἐπιτελέσας, ἐκλήθη Μάνιος Οὐαλέριος Ταραντῖνος. Τούς τε γὰρ χθονίους θεοὺς μάνης καλοῦσι Ῥωμαῖοι, καὶ τὸ ὑγιαίνειν βαλῆρε. Ζώσιμος. Ἐν μὲν οὖν τῇ λέξει Valerius τῇ ου διφθόγγῳ ὁ συγγραφεὺς ἐχρήσατο, ἐν δὲ τῷ Valere τῷ β· περὶ οὗ οὐδὲν ἂν ἔχοι τις εἰπεῖν σοφιςικώτερον· ἐπεὶ καὶ τὸ Valerius ἐκ τοῦ Valere παράγεται. Ὁ γοῦν Μεκέρχος (Ἐνθ. ἀν. σ. 70) διὰ τούτων ἀποδεῖξαι σπουδάζει ὡς τὸ η ἐστι τῷ λατινικῷ e ὁμόφωνον· διὰ δὲ τὴν ἐπαμφοτερίζουσαν τοῦ V διὰ τῆς ου καὶ β γραφὴν ἐν τοῖς ξενοῖς ὢν, ἄλλην ὁδὸν τρέπεται. Φησὶ γὰρ τοῦτο γεγονέναι, ἐπεὶ ἡ Ἑλληνικὴ οὐδὲν ἔχει γράμμα τῷ λατινικῷ V συμφώνῳ ἰσοδύναμον, καὶ ὅτι ἡμαρτημένως οἱ πλείους διὰ τοῦ β τοῦτο ἐξέθεντο. αὐτ. Ὁ δὲ Ἰωάννης Χέκκος οὐχ ἧττον τούτῳ θλιβόμενος, ἄλλην εὑρίσκει ἀποφυγήν. Φησὶ γὰρ τὸ ἑλληνικὸν β δύο ἔχειν ἐκφωνήσεις, τὴν μὲν τῷ λατινικῷ b, τὴν δὲ τῷ αἰολικῷ

menta græca expositio, non literis latinis concorditer, sed ut linguæ græcæ aptius erat, facta est. Suidas igitur a *secretis* Ἀσηκρῆτις dicit, et Πρωτασηκρῆτις Zonaras, et Cedrenus, et *Cocceianus* Κοκκηϊανὸς Polybius, et *Census* Κῆνσος Hesychius (2). Porro dictionem *Virgilius*, et similia, alii per β, alii per ου scribunt (3). In permultis denique transitus dictionum nec ad prolationis similitudinem, nec ad elementa in utraque

rem inter se cognationem et loci et dignitatis, et (si hoc quoque ad rem pertinet) etiam figuræ, quasi in sua quæque republica, obtinerent. Greg. Mart. in Syllog. p. 584. A transitu ad pronunciationem non valet consequentia. Transeunt enim literæ Græcorum sæpenumero in literas Latinorum; a quarum potestate tamen differunt. E. g. ε interdum transit in e breve, ut ἐγὼ, *ego*, γένος, *genus*; interdum in e longum, ut ἕδος, *sedes*; interdum in o, ut νέος, *novus*, Κέρκυρα, *Corcyra*; interdum in i, ἐντὸς, *intus*, τέγγω, *tingo*; interdum in u, ut ἑνὸς, *unus*, τεὸς, *tuus*. Ergone ε Græcis pronunciandum est ut o, vel i, vel u? Deinde τὸ η Latinis in e longum transire, universaliter verum non est; quum transeat etiam in e breve, in u, in o, imo et i. Πατὴρ, *pater*, φὴρ, *fera*, ἥρως, *herus*, σίνηπι, *sinapi*, φήμη, *fama*, κῆρ, *cor*, Σκηπίων, *Scipio*, ψῆττα, *psitta*, ἐσθὴς, *vestis*. Erasm. Schmidt in Syllog. p. 663. Γεννητὸς, *genitus*, γεννήτωρ, *genitor*, δμήτωρ, *domitor*, δμητὸς, *domitus*, ῥῆγμα, *rima*, etc.

G. Placent. l. c. p. 125. ὑποδιαστολὴ, *hypodiastoli*, apud Focam Grammaticum.

(2) Κηνσὸς herba quædam; κῆνσος vero vectigal per ι.

(3) Cum hanc aram Οὐαλέριος invenerit, sacrificiaque et cerimonias nocturnas absolverit, appellatus est Μάνιος Οὐαλέριος Ταραντῖνος. Nam deos infernales Romani μάνης (manes) appellant, et ὑγιαίνειν βαλῆρε (valere). Zosimus. In dictione igitur *Valerius* diphthongo ου, in *Valere* autem β auctor usus est; de quo nemo aliquid captiose dicere possit; si quidem et *Valerius* a *Valere* derivatur. Mekerchus igitur (l. c. p. 70) per hæc, quod υ latino e consonum sit, demonstrare conatur. Cum autem, ob ancipitem literæ V per ου et β scriptionem, in angustiis sit, aliam viam ingreditur. Dicit enim hoc factum esse; quoniam lingua græca nullam literam, latinæ consonanti V æquivalentem, habet; et quod vitiose plerique per β hanc exposuerint. ib. Joannes vero Checcus non minus a hoc torquatus, aliud effugium quærit. Dicit enim græcum β

Ἔσχατον δὲ ἐν πολλοῖς αὗται αἱ τῶν λέξεων μεταβάσεις οὔτε καθ' ὁμοιότητα τῆς προφορᾶς, οὔτε κατὰ τὰ ἀνάλογα ἐν ἑκατέρᾳ φωνῇ στοιχεῖα, ἀλλ' ὡς ἔδοξεν ἑκάστῳ τῶν συγγραφέων, γεγόνασιν. Οἷά εἰσι καὶ τὰ ἑξῆς παρὰ Πλουτάρχῳ καὶ ἄλλοις. **Quintiles**, Κυϊντιλίας· **Quintus**, Κόϊντος· **Tarquinius**, Ταρκύνιος· **Genetis**, Γενείτα· **Spurius**, Σπόριος· **Feciales**, Φιτιάλιοι· **Tullius**, Τύλλιος· **Curio**, Κουρίων· **Cajus**, Γάϊος· **Capitolium**, Καπετώλιον· **Centurio**, Κεντηρίων· **Fabula**, Φάβολα· **Rusticus**, Ῥωστικός· **Protector**, Προτίκτωρ· **Senator**, Σινάτωρ· **Lucullus**, Λεύκολλος· **Brundusium**, Βρεντήσιον· **Brutii**, Βρέντιοι· **Britania**, Βρεττανία, καὶ ἄλλα πλεῖστα. Αὐτὰ δὲ ταῦτα καὶ ταῖς ἑλληνικαῖς λέξεσιν εἰς τὴν Λατινίδα μεταβαινούσαις συμβαίνει· νῦν μὲν γὰρ φέρ' εἰπεῖν τὸ υ διὰ τοῦ λατινικοῦ φωνήεντος **u** ἐκτιθέασιν· ὡς Τύρβη, **Turba**· νῦν δὲ διὰ τοῦ **y** ἑλληνικοῦ λεγομένου· ὡς Κῦρος, **Cyrus**.

§. ιή. Ἄλλως τε πῶς ἂν δίκαιον εἴη, ὡς φησὶ Σμίδιος (1), περὶ τῆς τῶν ἑλληνικῶν στοιχείων ἐκφωνήσεως κατ' ἀναλογίαν ἐκ τῆς Ἑβραϊκῆς καὶ Λατινικῆς συμπεραίνειν, αἳ νεκραὶ ἐπίσης εἰσί, καὶ μηκέτι παρ' ἔθνους τινος λαλούμεναι; Εἰ γὰρ τὴν ἑλληνικὴν προφορὰν, διὰ τὸ μηκέτι ἐν τῇ ἀρχαίᾳ αὐτῆς εἰλικρινείᾳ τε καὶ λαμπρότητι λαλεῖσθαι τὴν γλῶσσαν, παρεφθάρθαι οἱ ἐναντίοι διϊσχυρίζωνται, οὐ δεῖ τούτους ἐκ νεκρῶν ἄλλων γλωσ-

διγάμματι, καὶ τῷ λατινικῷ V συμφώνῳ ὁμοίαν. Ἐν Συλλογ. σ. 307. Πρὸς δὴ τούτους τὸ τῆς παροιμίας ἀρκέσει. Δεῖ πρὸς στάθμη πέτρον τίθεσθαι, μήτι πρὸς πέτρῳ στάθμην. Ἀλλὰ ταῦτα μὲν ἀπορία Ψάλτου βήξ· σημειωτέον δ' ἐνταῦθα ὡς οἱ μὲν ἀρχαιότεροι τὰ πολλὰ διὰ της ου τὰ τοιαῦτα ἐξετίθεντο, οἱ δὲ νεώτεροι διὰ τοῦ β. « Τὴν δὲ ῥηθεῖσαν Ἐνετίαν νῦν μὲν Βενετίαν φασίν.... Οἱ δὲ παλαιοὶ Οὐενετίαν τὴν χώραν πεντασυλλάβως ἐκάλουν, κατὰ γλῶσσαν οἰκείαν· ὡς καὶ τὸν Ὀκτάβιον Ὀκταούϊον, καὶ τὸν Φλαβιανὸν Φλαουϊανόν; καὶ ὅσα τοιαῦτα. « Εὐστάθ. Παρεκβ. εἰς Διον. τὸν Περιηγ. σ. 58. Ἔκδ. Ἐυρ. Στεφ. Ὁ δὲ Πλούταρχος τὸ **Varro** Βάῤῥων φησί, καίτοι ἄλλοι ὁμόχρονοι αὐτῷ συγγραφεῖς Οὐάῤῥων λέγουσι. κ. τ. λ. Ὅρα καὶ §. ιά. σημ. 4. τάπερὶ τοῦ αἰολικοῦ διγάμματος εἰρημένα.

(1) Ἐνθ. ἀν. σ. 661, καὶ 671.

lingua analoga, sed uti singulis auctorum placuit, facti sunt. Quales et sequentes dictiones sunt, quæ apud Plutarchum et alios occurrunt. *Quintiles*, Κυϊντιλίας, *Quintus*, Κόϊντος, *Tarquinius*, Ταρκύνιος, *Genetis*, Γενεῖτα, *Spurius*, Σπόριος, *Feciales*, Φιτιάλιοι, *Tullius*, Τύλλιος, *Curio*, Κουρίων, *Cajus*, Γάϊος, *Capitolium*, Καπετώλιον, *Centurio*, Κεντηρίων, *Fabula*, Φάβολα, *Rusticus*, Ῥωστικὸς, *Protector*, Προτίκτωρ, *Senator*, Σινάτωρ, *Lucullus*, Λεύκολλος, *Brundusium*, Βρεντήσιον, *Brutii*, Βρέντιοι, *Britania*, Βρεττανία, et sexcentæ aliæ. Eadem etiam græcis dictionibus in linguam latinam transeuntibus accidunt; nunc enim υ, e. g. per latinam vocalem *u* exponunt, ut Τύρβη, *Turba*; nunc vero per *y* græcum dictum, ut Κῦρος, *Cyrus*.

§. 18. Præterea quomodo æquum esset, ut Schmidt observat (1), de pronunciatione literarum græcarum per analogiam ex lingua hebraïca ac latina concludere; cum utramque, jam diu similiter mortuam, nulla natio amplius loquatur? Nam si prolationem literarum græcarum, ex eo, quod nemo amplius hanc linguam in primitiva ipsius claritate priscoque nitore loquitur, corruptam fuisse contrarii contendant: non licet ex mortuis aliis linguis illius pronuncia-

duas prolationes: unam latinæ b, aliam æolico digammati, et latinæ consonanti V similem habere. In Syllog. p. 307. Hisce igitur satis est solummodo proverbium dicere. Non amussis juxta lapidem, sed lapis juxta amussim poni debet. Sed hæc quidem dubitatio cantoris, ut ajunt, est tussis; notandum autem hic est, quod ista plerumque veteres per ου exponebant; recentiores vero per β. » Dictam vero Ἐνετίαν nunc quidem Βενετίαν dicunt.... Veteres autem Οὐενετίαν regionem in quinque syllabis, juxta suam glossam, vocabant; sicut etiam Ὀκτάβιον, Ὀκταούϊον, et Φλαβιανὸν, Φλαουϊανὸν, et alia quæ similia sunt? » Eustath. Parecb. in Dion. Perieget. p. 58. Ed. H. Steph. Plutarchus autem *Varro* Βάῤῥων dicit, etsi alii illius ætati æquales auctores Οὐάῤῥων dicant. etc. Vide et §. 11. adnot. 4. quæ de æolico digammate dicta sunt.

(4) L. c. p. 661, et 671.

σῶν τὴν ἐκείνης ἐκφώνησιν ἀποδεῖξαι ἐπιχειρεῖν· εἰ δ' ἐκείνας, καὶ νεκρὰς οὔσας, διαφυλάξαι τὸ ὀρθὸν τῆς ἐκφωνήσεως εἴπωσι, δεῖ τὸ αὐτὸ προσλογίζεσθαι καὶ τῇ Ἑλληνίδι.

§. ιθ'. Ὅτι δὲ τὰ ἑλληνικὰ γράμματα οὐχ ἁπλῶς ὁμόφωνα τοῖς ἑβραϊκοῖς, ἢ φοινικείοις εἰσὶ, καίπερ ἐκ τούτων τὸ πλεῖστον μέρος παραγόμενα, καὶ Ἡρόδοτος ἀποδείκνυσιν οὕτω λέγων. «Μετὰ δὲ, χρόνου προβαίνοντος, ἅμα τῇ φωνῇ μετέβαλον καὶ τὸν ῥυθμὸν τῶν γραμμάτων·» καὶ, Παραλαβόντες διδαχῇ παρὰ τῶν Φοινίκων τὰ γράμματα, μεταῤῥυθμίζοντες σφέων ὀλίγα ἐχρέωντο» (§. ή. σημ. 3). Συμβαίνει γὰρ καὶ τοῖς γράμμασι καὶ λέξεσιν, ἐξ ἑνὸς ἔθνους εἰς ἕτερον μετάβασιν, ὃ καὶ τοῖς ἀνθρώποις αὐτοῖς. Ὥσπερ γὰρ ἄνθρωποι, ἔκ τινος τῆς γῆς μέρους εἰς ἄλλο μεταναστήσαντες, τῷ κλίματι, καίτοι μετὰ πολὺν χρόνον, ἔσχατον συνεξομοιοῦνται(1)· οὕτω καὶ αἱ λέξεις καὶ τὰ στοιχεῖα, τὴν ἀρχαίαν αὐτῶν ἐκφώνησιν κατὰ βραχὺ ἀποβαλόντα, εἰς τὴν τῶν φωνητηρίων ὀργάνων ἰδιότητα τοῦ ἔθνους, εἰς ὃ μετέβησαν, μεταῤῥυθμίζονται.

§. κ'. Γ'. Οὐ δεῖ ἐκ τῶν κατὰ μίμησιν τοῦ σωμάτων ἐνίων ἤχου, ἢ τῆς ζώων τινῶν φωνῆς πεποιημένων ὀνομάτων, τὴν τῶν στοιχείων ἐκφώνησιν ἀποδεικνῦναι ἐπιχειρεῖν· αὗται γὰρ αἱ ὀνοματοποιΐαι κατὰ σμικράν τινα τῶν ἠχούντων σωμάτων, ἢ τῆς τῶν ζώων φωνῆς ὁμοιότητα, ἀλλ' οὐ κατ' ἀκριβῆ ταὐτότητα γέγονεν (1). Ἐπεὶ οὐ τὰ αὐτὰ τῆς φωνῆς ὄργανα ἀνθρώποις τε καὶ

(1) Μεσγερ. Ἀνθρωπολ. Τμ. Α'. §. ό.

(1) Μεγάλη τούτων ἀρχὴ καὶ διδάσκαλος ἡ φύσις, ἡ ποιοῦσα μιμητικοὺς ἡμᾶς καὶ θετικοὺς τῶν ὀνομάτων, οἷς δηλοῦται τὰ πράγματα, κατά τινας εὐλόγους καὶ κινητικὰς διανοίας ὁμοιότητας, ὑφ' ὧν ἐδιδάχθημεν ταύρων τε μυκήματα λέγειν, καὶ χρεμετισμοὺς ἵππων, καὶ φρυαγμοὺς τράγων· πρὸς τε βρόμον καὶ πάταγον ἀνέμων, καὶ συριγμὸν κάλων, καὶ ἄλλα τούτοις ὅμοια παμπληθῆ. Διον. Ἀλικ. Ἐνθ. ἀν. σ. 26. Τοῦτο δὲ οὐδ' ὁ Ῥοτεροδάμος Ἔρασμος ἔσχεν ἀρνηθῆναι, καίτοι ἄλλως παραδείγμασιν ἐκ πάντων μονονοὺ τῶν ζώων ἐχρήσατο· φησὶ γάρ. «Μάλιστα αὗται αἱ λέξεις καὶ τοῖς πράγμασιν αὐτοῖς, καὶ τῷ ἤχῳ, ἃ σημαίνουσιν, ὁμοιότητα ἔχουσιν. Οὐ μέντοι γε ἀνάγκη, τὸ πρᾶγμα, οἷόν ἐστι, τῇ φωνῇ παρίστασθαι· ἱκανὸν δ' ἐστιν ὁμοιότητά τινα φαίνεσθαι· ἢ δὴ, κἂν μὴ φαίνηται, αἰτία τις ὅμως ὕπεστι, δι' ἣν αὕτη ἡ λέξις τῷ δε τῷ πράγματι ἐπετέθη.» Ἐν Συλλογ. σ. 149.

tionem demonstrare conari; si vero illas, etsi mortuas, rectam prolationem conservasse dicant: idem linguæ quoque græcanicæ tribuere debent.

§. 19. Quod vero literæ græcæ non absolute hebraïcis, aut phœniceis consonæ sunt, licet maxima ex parte ex his deriventur, vel ex Herodoto sic dicente demonstrari potest. » Sed progressu temporis, una cum sono mutaverunt et modulam literarum. Iterum: « Cum literas a Phœnicibus discendo accepissent, earum illi paucas commutando, in usu habuerunt » (§ 8. adnot. 3.). Nam literis quoque ac dictionibus, dum ex uno loco in alium transeunt, idem acccidit, quod et hominibus ipsis. Quemadmodum enim homines, ex una terræ parte in aliam transmigrantes, cum climate demum, quanquam post multum tempus, assimilantur (1); sic et dictiones, et elementa, priori prolatione eorum paulatim amissa, juxta vocalium organorum indolem nationis, ad quam transgressa sunt, transformantur.

§. 20. III. Non licet ex verbis per imitationem nonnullorum corporum soni, vel quorundam animalium vocis factis, literarum prolationem demonstrare conari; hæ enim verborum fictiones juxta parvulam quandam corporum sonantium, aut animalium vocis similitudinem, non autem ad exactam identitatem, factæ sunt (1). Si quidem vocalia organa non ea-

(1) Metzger Anthropol. I. Sect. §. 70.

(1) Magnum horum principium magistraque natura est, quæ nos imaginibus quibusdam decoris, mens unde nostra excitatur, efficit ut imitari possimus, et vocabula struere res ipsas exprimentia; quibus edocti sumus taurorum mugitus, equorum hinnitus, fremitusque hircorum verbis repræsentare; præterea fragorem et strepitum ventorum, rudentum stridorem, atque horum similia quam plurima. Dion. Hal. l. c. p. 26. Hoc vero nec Erasmus Roterodamus negare potuit; licet exemplis ab omnibus fere animalibus usus sit. Dicit enim. « Imo referunt ipsis elementis, ipsoque sono, quod significant. Verum nihil est necesse rem totam, ut est, voce repræsentari; satis est aliquam similitudinem apparere; quæ si non appareat; tamen aliquid causæ subest, cur huic rei vocabulum hoc sit impositum. » In Syllog. p. 149.

θηρίοις εἰσίν (2)· ἔδει γὰρ, εἴπερ, καὶ ταῦτα λαλητικὰ εἶναι· ἀλλ' αἱ μὲν τοῦ ἀνθρωπίνου λόγου λέξεις (λέξεις δ' ἐνταῦθα καὶ οὐ φωνὰς λέγομεν· ἐπεὶ καὶ ὁ ἄνθρωπος δύναται ἀγραμμάτους φωνὰς προϊέναι, καὶ πολλῶν ζώων φωνὰς ἀμωσγέπως μιμεῖσθαι) εἰσὶν ἔναρθροι καὶ ἐγγράμματοι· αἱ δὲ φωναὶ τῶν θηρίων τόνοι μόνον καὶ ἦχοι γραφῆναι μὴ ἔχοντα (3). Ψυχρὸν ἄρα ἐστὶ τὸ μέχρι ἀηδίας ὑπὸ πάντων τῶν ετεροδόξων μονονουχὶ προτεινόμενον, ὡς δηλαδὴ τὸ β κατὰ τὸ λατινικὸν b προφέρεσθαι δεῖ, ἐπεὶ πολλοὶ τῶν ἀρχαίων τὸ βῆ βῆ μιμητικὸν τῆς τῶν προβάτων φωνῆς εἶναι εἶπον. Τίς γὰρ δήποτ' ἂν τῶν νοῦν ἐχόντων διϊσχυρίσαιτο, ὡς τὰ πρόβατα βληχώμενα, b ἀπαραλλάκτως φωνεῖ; Καὶ φλοῖσβος δὲ, ἵν' εἰς τὸ δεύτερον ἥκωμεν, ἐστὶ κατ' ὀνοματοποιΐαν ἦχος ὕδατος θαλασσίου ἐν τῇ ἐκκυμάνσει γινόμενος, πρὸς τοῖς αἰγιαλοῖς παλινοστοῦντος, καὶ ῥοῖζος πτηνῶν πετομένων· τίς δ' οὐκ ἂν αἰσχυνθείη εἰπεῖν, ὅτι ἡ θάλασσα κυματιζομένη, καὶ ὁ ἀὴρ τοῖς τῶν ὀρνίθων πτεροῖς σχιζόμενος ἠχεῖ, ὡς αἱ λέξεις προφέρονται; Καὶ τὸν τῆς κιθάρας δὲ ἦχον τῇ λέξει θρεττεναλὸ Ἀριστοφάνης ἐκτίθησι (4)· καὶ τὸ τήνελλα μίμησιν ποιὰν φωνῆς κρούματος αὐλοῦ φασιν εἶναι (5)· οὐδὲν μέντοι τοιοῦτον, κιθάρας κρουομένης, ἢ αὐλοῦ ἐμφυσωμένου, ἀκούομεν.

§. κά. Καὶ μὴν οἱ ἐναντίοι φασίν· ὁ μὲν τῶν ἀνθρώπων λόγος διηνεκῶς μεταβάλλεται, αἱ δὲ τῶν ζώων φωναὶ εἰσὶν ἀμετάβλητοι· αἱ ἐκ τῶν ζώων ἄρα λαμβανόμεναι ἀποδείξεις μέγα κῦρος ἔχειν ὀφείλουσιν. Ἀλλά γε τουτὶ τὸ συμπέρασμα ἐπὶ μὲν τῶν ζώων ὀρθὸν ἂν εἴη. Οὕτω γὰρ καὶ νῦν βρυχῶνται οἱ λέοντες, ὡς καὶ ἐπὶ

(2) Καὶ μὴν γλῶττάν τε πάντων τῶν ζώων ἐχόντων, μόνην τὴν τῶν ἀνθρώπων ἐποίησαν οἱ θεοὶ, οἵαν ἄλλοτε ἀλλαχῆ ψαύουσαν τοῦ στόματος, ἀρθροῦντε τὴν φωνὴν, καὶ σημαίνειν πάντα ἀλλήλοις ἃ βουλόμεθα. Ξενοφ. Ἀπομν. Β. Α'. σ 727.

(3) Ζώου μὲν ἐστι φωνὴ ἀὴρ ὑπὸ ὁρμῆς πεπληγμένος· ἀνθρώπου δὲ ἐστιν ἔναρθρος, καὶ ἀπὸ διανοίας ἐκπεμπομένη. Διογ. Λαέρτ. ἐν Βίῳ Ζήν. Ἡ φωνὴ διττὴ ἐστίν. Ἡ γὰρ ἔναρθρος ἐστὶν, ἤγουν ἐγγράμματος, ὡς ἐκ διανοίας ἀνθρωπίνης προβαλλομένη· ἢ ἄναρθρος, τουτέστι μὴ δυναμένη γραφῆναι· ὥσπερ ἡ τῶν ἀλόγων ζώων, καὶ ὁ ἦχος ὁ ἀπὸ σιδήρου γινόμενος. Πορφύρ. παρὰ Villois. Ἔνθ. ἀν. σ. 103. Εἰ μή τις εἴποι ὡς οἱ Ψιττακοὶ ἐνάρθρους φωνάς πως προφέρειν κατὰ μίμησιν ἐκμανθάνουσι.

(4) Ἐν Πλούτ. στιχ. 291.

(5) Ἐν Ὄρνιστ. ἐν τῷ τέλει.

dem in hominibus ac animalibus exstant (2); oporteret enim, si hoc fuisset, animalia etiam loqui. Ast humani quidem sermonis dictiones (hic autem *dictiones*, ac non *voces* dicimus; quia et homo potest voces, quæ literis scribi nequeunt, producere, multorumque animalium voces quodam modo imitari) sunt articulatæ, literisque scribi valentes; voces vero animalium toni solummodo ac soni sunt, literisque exprimi nequeunt (3). Absurdum igitur est illud ab omnibus fere adversariis ad fastidium usque propositum, quod nempe ϐ secundum latinam literam *b* proferi debeat; quia permulti priscorum βῆ βῆ ovium vocis imitativum esse dixerunt. Quis enim sapiens contendere possit, quod oves balantes, *b* exacte sonent. At Φοῖσϐος quoque, ut ad posterius veniamus, per nominum fictionem sonum aquæ marinæ, in exundatione versus litora vertentis, factus est; et ῥοῖζος avium volantium sonum significat; quem tamen non pudeat dicere, mare fluctuans, et aërem alis avium agitatum ita sonare, sicut illæ dictiones pronunciantur? Etiam citharæ sonum dictione Θρεττανελὸ Aristophanes exponit (4); et Τήνελλα imitationem quandam vocis pulsationis tibiæ dicunt esse (5); nihil tamen tale, cithara pulsata, vel tibia inflata, audimus.

§. 21. Ast adversarii dicunt: sermo hominum semper mutatur; voces vero animalium sunt immutabiles; demonstrationes igitur ab animalibus depromptæ magni valoris esse debent. Attamen hæcce conclusio de animalibus quidem recta esset. Sic enim et nunc leones fremunt, ut tempore Cy-

(2) Linguam vero cum animalia cuncta habeant, solam hominum ejusmodi Dii condiderunt, ut ore alias alibi contacto, vocem quasi articulet, omniaque significet, quæcunque significare nobis inter nos libeat. Xenoph. Memor. L. I. p. 727.

(3) Animalis quidem vox est aër ab instinctu percussus; hominis vero est articulata, et a ratione emissa. Diog. Laërt. in vita Zen. Vox est duplex. Nam aut articulata est; quæ literis nempe scribi potest; aut non articulata, nec literis scribi valens; qualis est vox ratione carentium animalium, et sonus a ferro factus. Porphyr. apud de Villoison. l. c. p. 103. Nisi quidam dicat Psittacos voces articulatas aliquo modo per imitationem proferre discere.

(4) In Plut. vers. 291.

(5) In Avib. in fine.

Κυβέλης· καὶ οἱ ἵπποι χρεμετίζουσιν, ὡς καὶ ὁ Πήγασος· καὶ αἱ αἶγες μηκάζουσιν, ὡς καὶ ἐπὶ Πανός· καὶ οἱ ὄνοι ὀγκῶνται, ὡς κἀκεῖνος, ἐφ' οὗ ὁ Σειληνὸς ἤλαυνε· καὶ πάντων τῶν νυνὶ ζώων αἱ κραυγαὶ ταῖς τῶν ἐπὶ Ἰαπετοῦ εἰσιν ὅμοιαι· ἀλλ' ἐπὶ τοῦ ἀνθρώπου οὐκέτι τοῦτο. Ἄλλο γὰρ γλαῦξ, κατὰ τὴν παροιμίαν, ἄλλο δὲ κορώνη φθέγγεται. Καὶ ὥσπερ ἐκ τοῦ ἀνθρώπου περὶ τῶν ζώων, ὡς πρὸς τοῦτο· οὕτω καὶ ἔμπαλιν ἐκ τῶν ζώων περὶ τοῦ ἀνθρώπου, οὐδὲν ὀρθὸν ἀνακύπτει συμπέρασμα. Καὶ πάντων γὰρ ἐκείνων ἐν γένει, καὶ ἑκάστων ἐν εἴδει λίαν διαφέρει τὸ λογικὸν τουτὶ ζῶον, ὁ Ἄνθρωπος.

§. κβ'. Ἄλλως τε καὶ ἡ παντὸς ζώου φωνὴ ἐν ἑκάστῃ διαλέκτῳ διαφόρου ὀνόματος ἔτυχεν. Οἷον, τὸν Ἵππον οἱ μὲν Ἕλληνες χρεμετίζειν λέγουσιν, οἱ δὲ Λατῖνοι **hinnire**, οἱ δὲ Γάλλοι **hennir**, οἱ δὲ Ἰταλοὶ **nitrire**, οἱ δὲ Ἰσπανοὶ **relinchar**, οἱ δὲ Γερμανοὶ **viehern**, οἱ δὲ Ἄγγλοι **neigh**, καὶ ἄλλοι ἄλλως. Τίνας οὖν εἴπωμεν ὀρθοτέρως τοῦτο μιμεῖσθαι; Εἰ γὰρ τὰ πεποιημένα ὀνόματα ἀπαραλλάκτως τὴν τῶν ζώων φωνὴν ἐξετίθεντο, ἔδει πάντας τοῖς ὁμοίοις ὀνόμασι περὶ ταῦτα χρῆσθαι.

§. κγ'. Δ'. Ἐν πολλοῖς πράγμασιν ἡ ἀρχαία καὶ ἀδιάκοπος ἐκ πατέρων ἐπὶ τοὺς ἀπογόνους παράδοσις οὐ μικρὸν κῦρος ἔχειν μοι φαίνεται· ἣ δὴ, συμφώνῳ μάλιστα μαρτυρίαις ἀρχαίων οὔσῃ, καὶ ἡμεῖς παρεπόμενοι, οὕτω τὰ ἑλληνικὰ στοιχεῖα προφέρομεν, ὡς ἐκ τῶν πατέρων ἡμῶν παρελάβομεν. Καίτοι γὰρ τὸ ἑλληνικὸν γένος, δι' ἃ ὑπέστη δεινὰ, τὴν ἀρχαίαν διάλεκτον ἐν τῇ πρωτοτύπῳ αὐτῆς εἰλικρινείᾳ οὐκ ἔσχε διαφυλάξαι· οὐδέ ποτε μέντοι ἐπαύσατο ταύτῃ, καὶ διεφθαρμένῃ ἔν τισιν οὔσῃ, χρώμενον (§. ε. καὶ ζ'.). Εἰκὸς οὖν καὶ τὴν ὀρθὴν διασωθῆναι ἐκφώνησιν, ἐκ τῶν διδασκάλων ἐπὶ τοὺς μαθητὰς ἐπαλλήλως ἀεὶ μετοχετευομένην. Ἐν οἷς δ' αὕτη τοῦ ὀρθοῦ μοι ἐκπεπτωκέναι δοκεῖ, καὶ τοῦτο ἐν τῆς ἑξῆς εἰπεῖν οὐκ ὀκνήσω. Καὶ ἡ ἱερὰ δ' ἡμῶν Ἐκκλησία, τῇ ἀρχαίᾳ Ἑλληνικῇ ἐξ ἀρχῆς μέχρι τοῦ νῦν χρωμένη, ἐς τὴν τῆς ὀρθοτέρας προφορᾶς τήρησιν οὐ μικρὸν συνεβάλετο.

§. κδ'. Προεστοιχειωμένων δὲ τούτων, παρακειμένως λεκτέον, ὡς οἱ ἐναντίοι μὴ ὀρθῶς ἡμᾶς τῶν γραμμάτων τινὰ προφέρειν νομίζουσι, τοῦτο μὲν, ἐπεὶ τὰ ὁμοιοδύναμα ἐκείνοις ἄλλως ἐν

belæ ; et equi hinniunt, sicut et Pegasus ; et capræ caprizant, ut et tempore Panis ; et asini rudunt, sicut et ille, super quem Silenus equitabat ; omniumque modo exsistentium animalium voces, vocibus illorum, quæ tempore Japeti fuere, similes sunt ; in homine vero non idem est. Nam, juxta proverbium, aliud noctua, aliud cornix loquitur. Et quemadmodum ex homine de brutis, quoad hoc ; sic vice versa ex brutis de homine nihil recti concludi potest. Siquidem rationale hoc animal, Homo, et omnibus illis in genere, et quolibet in specie magnopere differt.

§. 22. Cæterum cujuslibet animalis vox in singulis dialectis nomen diversum habet. E. g. equum Græci χρεμετίζειν dicunt, Latini *hinnire*, Galli *hennir*, Itali *nitrire*, Hispani *relinchar*, Germani *viehern*, Angli *neigh*, et alii aliter. Quosnam igitur rectius hoc imitari dicamus ? Si enim fictitia nomina exacte vocem animalium redderent, oporteret in hisce omnes nominibus similibus uti.

§. 23. IV. In multis rebus prisca ac noninterrupta a majoribus ad nepotes traditio, non parvam auctoritatem habere mihi videtur ; quam nos, cum præsertim veterum testimoniis consentanea sit, sequentes, ita literas græcas proferimus, ut a majoribus nostris accepimus. Quamquam enim græca natio, ob calamitates, quæ sibi acciderunt, linguam paternam in prisca ipsius claritate conservare non potuerit ; semper autem illa, licet in nonnullis corrupta, usa est (§. 5. et 7). Verisimile igitur est rectam prolationem conservatam fuisse, a præceptoribus in auditores cohærenter translatam. Ubi autem hæcce a recto tramite remota mihi esse videtur, hoc etiam in sequentibus dicere non verebor. Præterea sacra quoque nostra Ecclesia, quæ ab initio ad nostrum usque tempus prisco græco sermone utitur, ad conservandam rectam prolationem magnopere contulit.

§. 24. His autem prius, veluti quibusdam elementis, expositis : deinceps dicendum est, quod adversarii nonnulla elementa non recte pronunciare nos putent, partim, quia

ταῖς σφῶν διαλέκτοις ἐκφέρονται· τοῦτο δὲ, ἐπεὶ τινὰ ἐκεῖνοι δυσκόλως, ἢ οὐδόλως ἔχουσι καθ' ἡμᾶς ἐκφωνεῖν. Οἷον ἐπεὶ τὸ b ἔν τε τῇ Λατινικῇ, καὶ ἐν ταῖς ἐκ ταύτης παραχθείσαις φωναῖς, πλὴν τῆς Ἱσπανικῆς, ὡς μπὲ προφέρεται, ἐκ τούτου ἡμαρτημένως συμπεραίνοντες διατείνονται, οὕτω δεῖν καὶ τὸ β ἐν τῇ Ἑλληνικῇ ἐκφωνεῖσθαι. Τὰ αὐτὰ καὶ περὶ τοῦ γ, δ, καὶ θ νοείσθω (1). Ὥςε εἰ καὶ τὸ R, τὸ τῷ ἑλληνικῷ P ὁμόφωνον, ἄλλως ἐν ταῖς αὐτῶν ἐξεφέρετο διαλέκτοις, τάχ' ἂν διϊσχυρίσαιντο καὶ τὴν τοῦ P ἐκφώνησιν ἡμᾶς ἀποβεβληκέναι.

§. κέ. Προσέτι εἰ τὸ β, γ, δ, καὶ τὰ λοιπὰ ἐκφωνητέα εἰσὶ κατὰ τὰ ἰσοδύναμα τούτοις λατινικὰ γράμματα, τίνι πρὸς Διός! ἡ Ἑλληνικὴ τῆς Λατινίδος διοίσει; Ταῦτα γὰρ μόνα ἐςὶ τὰ διάφορον τὴν ἐκφώνησιν ἑκατέρας ἀπεργαζόμενα (1). Ἦν οὖν πάντα

(1) Ὡς καὶ πάλαι οἱ ἀλλογενεῖς ἐν τούτοις τοῖς ςοιχείοις, ἑλληνιςὶ λαλοῦντες, ἡμάρτανον, Ἀριςοφάνης ἀποδείκνυσιν, οὕτω τὸν Σκύθην λαλοῦντα ποιῶν·

» Κάτησο, κάτησο, ναίκι νὰὶ τυγάτριον.

Ἐν Θεσμοφ. ςίχ. 1146. » Ἄλλη δέ τις ἐν τῇ ἡμετέρᾳ διαλέκτῳ ἀνεφάνη κακοςομία, καὶ οἷον βαρβαροςομία, εἴ τις ἑλληνίζων μὴ κατορθείη, ἀλλ' οὕτω λέγοι τὰ ὀνόματα, ὡς οἱ βάρβαροι οἱ εἰσαγόμενοι εἰς τὸν Ἑλληνισμὸν, οὐκ ἰσχύοντες ἀρτιςομεῖν, ὡς οὐδ' ἡμεῖς ἐν ταῖς ἐκείνων διαλέκτοις. « Στράβ. Β. ΙΔ'. σ. 650. ἐν Βασιλ. 1549. Διὸ καὶ Ὅμηρος, ὡς αὐτὸς φησὶν (αὐτ.), τοὺς Κᾶρας μόνους βαρβαροφώνους ἀπεκάλεσε, διά τὸ δυσφόρως καὶ τραχέως τὴν Ἑλλάδα φωνὴν λαλεῖν. » Καὶ τῶν ἑλληνικῶν δὲ γραμμάτων ἐσπούδασα μετασχεῖν, τὴν γραμματικὴν ἐμπειρίαν ἀναλαβὼν, τὴν δὲ περὶ τὴν προφορὰν ἀκρίβειαν, πάτριος ἐκώλυσε συνήθεια. » Ἰώσ. Ἀρχ. Ἰουδ. Β. Κ'. κ. θ'. Ἕκαςον οὖν ἔθνος ῥᾳδίως τοὺς ἀλλογενεῖς, τὴν ἰδίαν αὐτοῦ φωνὴν λαλοῦντας, διαγινώσκει, εἰ μή τις ἐν παιδικῇ ἡλικίᾳ ταύτην εἴη ἐκδιδαχθείς. Καὶ ἡμεῖς δὲ τοὺς ἀλλογενεῖς ἑλληνιςὶ λαλοῦντας, μὴ ἰθαγενεῖς Ἕλληνας ὑπάρχειν διαγινώσκομεν, μάλιςα ἐκ τῆς τοῦ β, γ, δ, καὶ χ ἐκφωνήσεως· ὥσπερ τοὐναντίον κἀκεῖνοι ἡμᾶς, τὴν σφῶν λαλοῦντας διάλεκτον. » Τίς γὰρ ἀγνοεῖ, ὡς Γ. Μαρτῖνος φησὶν, ἔμφυτον εἶναι ἑκάςῳ ἔθνει ἰδιαιτέραν τινα προφορὰν, μηδὲ τῷ αὐτῷ τρόπῳ διατίθεσθαι τὰ πάντων τῶν ἐθνῶν ὄργανα εἰς τὴν τῆς φωνῆς μόρφωσιν; » ἔνθ. ἀν. σ. 588. Διὸ καὶ ἐν τῇ τῆς Λατινίδος ἐκφωνήσει καὶ νῦν διαφορά τις ἐν ἑκάςῳ ἔθνει παρατηρεῖται. Ἄλλως γὰρ ἔν τισι ταύτην Γάλλοι προφέρουσι, ἄλλως δ' Ἰταλοὶ, ἄλλως δ' Ἱσπανοὶ, καὶ Γερμανοὶ, καὶ Ἄγγλοι, ἕκαςοί τι ἐκ τῶν πατρίων φωνῶν ἐν τῇ προφορᾷ ἐκείνης παραμιγνύντες.

(1) Ὑπέλαβόν τινες ὡς τὸ ἀπεργάζεται, ὥσπερ ἐν τῇ τῆς Αντι-

Digitized by Google

eadem vi gaudentes literæ aliter in dialectis ipsorum pronunciantur; partim, quia illi nonnullas difficulter, vel penitus juxta nos proferre non valent. Cum enim *b*, exempli gratia, tum in Latina, tum in aliis ex hac derivatis linguis, Hispanica excepta, ut μπε proferatur: ex hoc mala conclusione facta, contendunt, sic et ϐ debere in lingna græca pronunciari. Eadem de γ, δ, et ϑ intelligenda sunt (1). Quod si P græco consonum R aliter in ipsorum linguis pronunciaretur, forsitan contenderent P etiam prolationem nos amisisse.

§. 25. Porro si β, γ, δ, etc. secundum similes iisdem latinas literas pronuncianda sint, quone Mehercle! sermo græcus a latino differet? Hæc enim sola sunt, quæ utriusque prolationem diversam reddunt (1). Si igitur omnes græcæ literæ

(1) Quod et olim alienigenæ in hisce elementis, dum græce loquebantur, peccabant, Aristophanes, ita Scytham loquentem faciens, demonstrat.

« Κάτησο, κάτησο, παίχι καὶ τυγάτριον. In Thesmophor. vers. 1146. » Alia porro prava, et quasi barbara loquendi ratio, in lingua nostra exstitit, si quis græcum sermonem affectans, perfectam ejus pronunciationem non attingat; sed ita nomina efferat, ut barbari, quando in græcæ linguæ usum introducuntur, neque possunt perfecte vocabula exprimere; quod et nobis in illorum idiomatibus usu venit.» Strab. l. XIV. p. 630. Basil. 1549. Qua ex re Homerus, ut ipse Strabo asserit (ib.), Cares solos barbarolingues appellavit; quia difficulter, aspere, ac duriter græcam linguam loquebantur. » Græcanicæ quoque literaturæ dedi operam, artemque grammaticam didici; quamvis exquisitam pronunciandi rationem assequi per patriam consuetudinem non licuit. » Joseph. Archæol. Jud. l. XX. c. 9. Quælibet igitur natio facile alienigenas, ipsius linguam loquentes, dignoscit; nisi quidam in puerili ætate illam didicerit. Atque nos etiam alienigenas, dum græce loquuntur, statim non nativos Græcos esse distinguimus, præsertim ex β, γ, δ, et χ prolatione; sicut e contra et illi nos ipsorum linguas loquentes recognoscunt.» Quis enim, ut G. Martinus dicit, ignorat, ingenitam esse omni natione peculiarem quandam pronunciationem, et suam; nec eodem modo quibusvis gentibus ad formandam vocem disponi instrumenta? » l. c. p. 588. Ideo in linguæ latinæ prolatione et nunc differentia quædam apud singulas nationes observatur. Nam aliter in nonnullis eam proferunt Galli, aliter Itali, et Hispani, et Germani, et Angli; quilibet semper ex patrio idiomate aliquid in prolatione illius commiscendo.

(1) Nonnulli putarunt quod ἀπεργάζεται, quo in titulo *Antipaña-*

τὰ ἑλληνικὰ γράμματα τοῖς λατινικοῖς ὁμοίως προφέρωμεν, Λατινικὴ παρὰ μικρὸν ἡ Ἑλληνὶς ἀποβήσεται.

§. κϛ'. Κἀκεῖνο δὲ ἔτι ἔςι παραςῆσαι, ὡς ἔνια, περὶ ἃ ἡμᾶς οἱ ἀλλογενεῖς ἁμαρτάνειν ὑπολαμβάνουσι, δυσχερέςερον, ἢ ὡς κατὰ τὴν σφῶν γνώμην, προφέρεσθαι ἔχουσιν· οἷαι καί τινες τῶν διφθόγγων εἰσίν. Αἱ γὰρ λέξεις γραῦν καὶ γρηῦν ῥᾷον γράϊουν καὶ γρεέϊουν, κατ' ἐκείνους, ἢ γράβν καὶ γρήβν ἐκφωνοῦνται. Καὶ τὸ β, γ, δ εὐχερέςερον ὡς b, g, d, ἢ κατὰ τὴν ἡμῶν ἐκφώνησιν, προφέρεσθαι δύνανται. Πῶς οὖν οἷόν τε ἦν τὸ ὀρθὸν, καίτοι εὐχερέςερον, τοὺς πρὸ ἡμῶν καταλιπόντας, δράξασθαι τοῦ δυσχερεςέρου;

§. κζ'. Ταῦτα μὲν ἱκανά μοι δοκεῖ γενικώτερον ἀποδεῖξαι, ἡμᾶς μὲν, καὶ ὅσοι ἡμᾶς ἐμιμήσαντο, ὀρθῶς τὴν Ἑλλάδα φωνὴν προϊέναι, κακῶς δὲ καὶ ἡμαρτημένως τοὺς ἐναντίους· ἀλλ' οὐκ ἂν γενοίμην ἔξαρνος μὴ οὐ διαφέρειν τι τῆς τῶν ἀρχαίων καὶ τὴν ἡμετέραν ἐκφώνησιν, καὶ τὴν πατρῴαν παράδοσιν εἰς τὸ ἡμαρτημένον ἔν τισιν ἐκνικῆσαι. Πᾶσα γὰρ διάλεκτος ἰδιαίτε-

πανακείας ἐπιγραφῇ ἐχρησάμην, ἰδιωτισμὸς τῆς νέας Ἑλληνίδος ἐςίν. Ὅτι δὲ τοῦτο οὐχ οὕτως ἔχει, τὰ ἑξῆς παραδείγματα ἀποδείκνυσι.» Τὴν σὴν γαςέρα πλατυτέραν οὐρανῶν ἀπειργάσατο. Ἰωάν Δαμασκ' ἐν Ὀκτοήχ. Ταῦτά δὲ πέφυκεν ἀρετὴ καὶ ἀλήθεια μάλιςα ἀπεργάζεσθαι. Ἱεροκλ. Φιλόσ. ἐν ἀρχῇ τῶν Ὑπομνημ. εἰς τὰ τῶν Πυθαγ. χρυσᾶ ἔπειη. Ὑπόκειται γὰρ ἡμῖν ἐν ἄλλοις ὅτι πολλὰ τοιαῦτα ἡ φύσις ἐφίεται ἀπεργάζεσθαι. Ἀριςοτ. ἐν Οἰκον. Ὃ δὴ προσήκειν φαμὲν ὀνόματι οἵῳ τε εἶναι ἀπεργάζεσθαι. Πλάτ. ἐν Κρατύλ. σ. 262. Ὀρθῶς ἄρα φρονήσεως αὕτη ἡ ἐπωνυμία ἐςὶ, τὸ καλὸν καὶ τὰ τοιαῦτα ἀπεργαζομένης. αὐτ. σ. 270. Πρῶτον μὲν ἐνθυμέεσθαι τὰς ὥρας τοῦ ἔτεος, ὅ, τι δύναται ἀπεργάζεσθαι ἑκάςη.» Ἱπποκρ. Περὶ Ἀέρων κ.τ.λ. §. ά. Οὕτω καὶ τὸ αἰτίων (ὁ ἐπίσης οὐκ ἀρέσκει ἐκείνοις) οὐκ ἐκ τοῦ αἰτία, ἀλλ' ἐκ τοῦ αἴτιον ἐςίν. Ἡ μὲν γὰρ τοῦ θηλυκοῦ πληθυντικὴ ὀνομαςικὴ περισπᾶται αἰτιῶν, ἡ δὲ τοῦ οὐδετέρου παροξύνεται αἰτίων. Τῆς δὲ χρήσεως τοῦ οὐδετέρου μυρία ἐςὶ παραδείγματα. Καὶ Γαληνὸς δὲ ἐν μὲν ἄλλαις πτώσεσι τὰ πολλὰ τῷ θηλυκῷ χρῆται, ἐν δὲ τῇ πληθυντικῇ γενικῇ τῷ οὐδετέρῳ, περὶ Αἰτίων σφυγμῶν· περὶ Αἰτίων συμπτωμάτων, κ. τ. λ. λέγων. Εἰ δὲ τὸ Αἰδοῖα τοῦ κρύφια τῶν μελῶν αἱρετώτερον· ἀλλὰ καὶ τοῦτο ἔν τισιν ἐκκλησιαςικοῖς συγγραφεῦσιν εὑρίσκεται. Ἡ δὲ λέξις κρύφια ἀρχαιοτάτη ἐςίν. Οἷον, Τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι. Ψαλμ. ν'. καὶ παρὰ Μουσαίῳ·

» Ὡς οἱ μὲν κρυφίοισι γάμοισι
συνέθεντο μιγῆναι.

latinis similiter proferantur, parvum deest ut lingua græca evadat latina.

§. 26. Illud etiam est demonstrandum, quod nonnulla, in quibus alienigenæ nos peccare putant, difficilius, quam illi statuunt, pronunciari possint; quales etiam nonnullae diphthongorum sunt. Dictiones enim γραῦν et γρηῦν facilius γράϊουν et γρεΐουν, secundum illos, quam γράβν et γρήβν efferuntur. Etiam β, γ, δ faciliusut *b*, *g*, *d*, quam juxta nostram prolationem, proferi possunt. Quomodo ergo fieri possit, antecessores nostros, recto faciliorique derelicto, difficilius arripuisse?

§. 27. Ex hisce quidem satis, ut mihi videtur, generaliter demonstratur, nos, et qui nos imitati sunt, recte græcum sermonem pronunciare; male vero et vitiose contrarios. Ast etiam nostram pronunciandi rationem aliquid differre a prisca; patriamque traditionem a recto in nonnullis remotam esse, inficias non ibo. Quævis enim dialectus peculiarem quandam, valde subtilem, si ita mihi dicere liceat, et nominatu diffi-

*cecæ* usus sum, linguæ græcæ recentioris idiotismus sit. Quod autem non ita se rés habet, sequentia exempla demonstrabunt. » Τὴν σὴν γαστέρα πλατυτέραν οὐρανῶν ἀπειργάσατο. Joann. Damasc. in Octoëch. Ταῦτα δὲ πέφυκεν ἀρετὴ καὶ ἀλήθεια μάλιστα ἀπεργάζεσθαι. Hierocl. Philosoph. in init. Comment. ad aur. vers. Pythag. Ὑπόκειται γὰρ ἡμῖν ἐν ἄλλοις ὅτι πολλὰ τοιαῦτα ἡ φύσις ἐφίεται ἀπεργάζεσθαι. Aristot. in Œconom. Οὐδὲ προσήκειν φαμὲν ὀνόματι οἷῳ τε εἶναι ἀπεργάζεσθαι. Plat. in Cratyl. p. 262. Ὀρθῶς ἄρα φρονήσεως αὕτη ἡ ἐπωνυμία ἐστὶ, τὸ καλὸν καὶ τὰ τοιαῦτα ἀπεργαζομένης. Ib. p. 270. Πρῶτον μὲν ἐνθυμέεσθαι τὰς ὥρας τοῦ ἔτεος, ὅ, τι δύναται ἀπεργάζεσθαι ἑκάστη. Hippocr. de Aër. etc. §. 1. Sic et αἰτίων (quod etiam illis non placet) non ex αἰτία, sed ex αἴτιον est. Feminini enim pluralis genitivus circumflectitur αἰτιῶν; neutrius vero in penultima accentum habet αἰτίων. Usus vero neutrius sexcenta sunt exempla. Galenus etiam in cæteris casibus feminino, in genitivo plurali autem plerumque neutro utitur, περὶ Αἰτίων σφυγμῶν; περὶ Αἰτίων συμπτωμάτων, etc. dicens. Si vero ἀδήλων præstantius est, quam κρύφια τῶν μελῶν; ast et hoc posterius apud nonnullos Ecclesiæ auctores occurrit. Dictio autem κρύφια est antiquissima; ut, Τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι. Psalm. 50. et apud Musæum.

» Ὡς οἱ μὲν κρυφίοισι γάμοισι συνέθεντο μιγῆναι.

ρόν τινα λεπτὸν πάνυ, εἴ μοι οὕτως εἰπεῖν ἐξείη, καὶ ἀκατονόμαστον, καὶ λόγῳ δυσέξοιστον ἐκφωνήσεως ἔχει τρόπον, ὃν τὸ ἐκείνην, αὐτῷ ἀκμάζοντι συνακμάζουσαν, λαλοῦν ἔθνος κέκτηται καὶ διαγνώσκει· οἱ δ' ἀλλογενεῖς καὶ ὑστερογενεῖς, ἤδη τῆς γλώσσης παρακμασάσης, οὔτε ἀκριβῶς ἐκεῖνον μιμεῖσθαι ἔχουσι, καὶ δυσχερῶς λίαν ἐγκρατεῖς αὐτοῦ γίνονται. Καὶ τοῦτο ἴδιόν μέν ἐστιν ἑκάστης γλώσσης προκόσμημα, οὐ μέντοι γε καὶ ὡς οὐσιῶδες θεωρεῖσθαι ὀφείλει. Οὐ θαυμαστὸν οὖν ἐστὶν, εἰ καὶ ἡμεῖς, τὰ μᾶλλον κύρια τῆς προφορᾶς ἐκ τῶν πατέρων διαδεξάμενοι, τὸ λεπτὸν ἐκεῖνο καὶ ἀκατονόμαστον καὶ δυσερμήνευτον ἐν γράμμασί τισιν ἀπεβάλομεν. Αὕτη δὲ ἡ διαφορὰ οὕτω βραχεῖα ἐστὶν, ὡς ἔοικεν, ὥστε καὶ ἐπὶ τῶν προτέρων τῆς Ἑλλάδος αἰώνων τοῖς ἀλλοδαποῖς πάντῃ ἦν δυσδιάκριτος καὶ δυσμίμητος· καίτοι μὴ ἐκ τῶν βίβλων, ὥσπερ τὰ νῦν, ἀλλ' ἐκ ζώσης φωνῆς, τὴν γλῶσσαν μανθάνουσι, καὶ ταύτην ἀεὶ ὁμιλουμένην ἀκούουσι (§. κδ'. σημ. 1).

§. κη'. Τῇ δ' ἡμετέρᾳ ἐκφωνήσει πάντες οἱ ἐν Εὐρώπῃ πεπαιδευμένοι, ὡς ἐξ Ἑλλήνων τὴν Ἑλλάδα φωνὴν ἐκμαθόντες, πάλαι ἐχρῶντο. Πρὸ γὰρ ὀλίγων ἐτῶν τῆς τοῦ Βυζαντίου πτώσεως, Μανουὴλ Χρυσολωρᾶς, Θεόδωρος Γαζῆς, Γεώργιος Τραπεζούντιος, καὶ ἄλλοι, τὸν Ὀθωμανικὸν ζυγὸν φεύγοντες, εἰς Ἰταλίαν μετανάσται ἐγένοντο· ἔνθα πρὸς τοῖς ἄλλοις καὶ Καπνίωνα ἐν τῇ ἑλληνικῇ διαλέκτῳ ὁμιλητὴν ἔσχον· ὃς δὴ πρῶτος λέγεται ταύτην εἰς Γερμανίαν μετακομίσαι· καὶ οὕτω κατὰ βραχὺ καὶ εἰς τὸ λοιπὸν τῆς Εὐρώπης διεσπάρη (1). Οὐδεὶς οὖν τῶν τότε ἐγένετο, ὃς ὑπόνοιαν περὶ τῆς ἑλληνικῆς ἔσχεν ἐκφωνήσεως. Πρῶτος δὲ κατὰ τὸν ιϛ. αἰῶνα ἀρχόμενον Δεσιδέριος Ἔρασμος ὁ Ροτεροδάμος (εἰ γὰρ καὶ ἄλλοι μικρὸν πρὸ αὐτοῦ, ὡς οἴεταί τις (2), ἐγένοντο, ἀλλ' οὐ τῷ πράγματι σπουδαίως ἐχρήσαντο) τῇ ἡμῶν προφορᾷ ἐπολέμησεν, ἐν διαλόγῳ μὴ τῆς τυχούσης ἄλλως πολυμαθείας καὶ ἡδύτητος ἔμπλεῳ. Τούτῳ οὖν, δι' ἣν τότε μεγίστην εἶχεν ἐν πεπαιδευμένοις ὑπόληψιν, (φιλοῦσι γὰρ πολλάκις οἱ ἄνθρωποι οὐκ ἐκ τῶν λεγομένων τὸν λέγοντα, ἀλλ' ἐκ τοῦ λέγοντος τὰ λεγόμενα κρίνειν) πολλοὶ ἅμα, καὶ μάλιστα Ἰωάννης

(1) Ἴδε Ἔρ. Σμιθ. ἐνθ. ἀν. σ. 652, καὶ 674.

(2) Στέφ. Βινδον. Ἐπίσκ. ἐν Συλλογ. σ. 192.

cilem, et sermone non facile explicandam prolationis rationem habet; quam natio illam linguam loquens possidet ac distinguit, dum hæc una cum eadem floret; alienigenæ vero ac postgeniti, lingua jam decrescente, non solum eam imitari exacte nequeunt; verum etiam difficile illius compotes evadunt. Ac hocce peculiare quidem est cujusvis linguæ decorum; non tamen tanquam aliquid essentiale considerari debet. Non mirandum igitur est, si nos etiam, punctis pronunciationis magis essentialibus a parentibus acceptis, subtile illud, nominatuque ac explicatu difficile, in nonnullis amiserimus elementis. Hæc tamen differentia adeo parva est, ut videtur: ut etiam in prioribus Græciæ seculis, alienigenæ difficiliter distinguere ac imitari illam valerent; licet non ex libris, ut modo fit, sed ex viva voce linguam discerent, eandemque loquentes semper audirent (§. 24. adnot. 1.).

§. 28. Pronunciatione autem nostra omnes eruditi Europæ, cum a Græcis sermonem græcum didicerint, olim utebantur. Nam ante aliquot annos expugnationis Bysantii, Manuel Chrysoloras, Theodorus Gaza, Georgius Trapezuntius, et alii, jugum Othomanicum fugientes, in Italiam transmigraverunt; ubi cum aliis etiam Capnionem in lingua græca auditorem habuerunt; qui primus hancce in Germaniam transtulisse fertur; ac sic paulatim in cæteras regiones Europæ dispersa est (1). Nemo igitur illo tempore viventium fuit, qui suspicionem de prolatione græca habuit. Primus vero, XVI. seculo incipiente, Desiderius Erasmus Roterodamus (Nam si et alii paulo ante hunc, ut quidam putat (2), fuerint, non tamen serio hac re usi sunt) nostram pronunciationem in dialogo, magnæ alioquin eruditionis ac suavitatis pleno, pugnavit. Hunc igitur, ob maximam reputationem, qua apud eruditos tunc gaudebat (multoties enim assveti sunt homines non ex dictis dicentem, sed ex dicente dicta judicare), multi simul, et præcipue Joannes Checcus,

(1) Vide Er. Schmidt. l. c. p. 652, et 674.

(2) Stephan. Vindon. Episcop. in Syllog. p. 192.

Χέκκος, Ἀδόλφος Μεκέρχος (3), Θεόδωρος Βέζας, καὶ Ἰάκωβος Κερατῖνος, ἑπόμενοι, τὴν καινοφανῆ ταυτηνὶ καὶ κακόφωνον, καὶ πᾶν εἴτι ἄλλο μᾶλλον, ἢ ἑλληνικὴν προφορὰν εἰσενεγκεῖν ἐπειράσαντο· καίτοι μὴ ἐξ ἰθαγενῶν Ἑλλήνων, ἀλλ' ἐκ τῶν βίβλων τὸ πλεῖστον μέρος τὸν Ἕλληνα λόγον μεμαθηκότες (4). Ὅτι δ' ἀμήχανόν ἐςι φω-

(3) Οὗτος οὐ μόνον τῆς νεωτερισθείσης προφορᾶς θερμὸς ἦν ζηλωτὴς, ἀλλὰ καὶ τὴν πολλῶν λέξεων σημασίαν, ἐκ παλαιοῦ ἤδη ἐν χρήσει οὖσαν, μεταβαλεῖν ἐβούλετο. Διϊσχυρίζετο γὰρ τὸ συμφορὰν μὴ τοῦτο, ἀλλ' ὠφέλειαν σημαίνειν, ὡς ἐκ τοῦ συμφέρω παραγόμενον, καὶ τὸ κάθαρμα μὴ τοῦτο, ἀλλὰ τὸν καθαρὸν ἄνθρωπον, διὰ τὸ παράγεσθαι ἐκ τοῦ καθαίρεσθαι. Ἰδὲ Γ. Μαρτῖν. ἔνθ. ἀν. σ. 604.

(4) Ἐξ ἐκείνου οὖν τοῦ καιροῦ δύο τρόποι ἑλληνικῆς προφορᾶς ἐν Εὐρώπῃ εἰσίν· ἡ Ῥευχλιανικὴ, ἀπὸ Ἰωάννου Ῥευχλίου, τὸν Ἕλληνα λόγον καθ' ἡμᾶς προφέροντος καὶ διδάσκοντος, οὕτως ὀνομασθεῖσα, ἧς νῦν οἱ θιασῶται ὀλίγιςοι, καὶ ἡ Ἐρασμιακὴ, ἀπὸ τοῦ εἰρημένου Ἐράσμου τοῦ Ῥοτεροδάμου. Καὶ τότε μέντοι πολλοὶ ἐν Εὐρώπῃ σοφοὶ, καὶ τῆς ἑλληνικῆς διαλέκτου εἰδήμονες, γενναίως τῷ δὲ τῷ νεωτερισμῷ ἀντετάξαντο· οἷον Στέφανος Βινδονίας Ἐπίσκοπος, καὶ τῆς Ἀκαδημίας τῆς ἐν Κανταβρίᾳ τῆς Ἀγγλίας Καγκελλάριος· ὃς καὶ ἀκαδημαϊκῷ γράμματι κωλῦσαι τὴν χρῆσιν αὐτῆς ἐπειράσατο (Ἰδὲ Συλλογ. Τ. Β'.), καὶ τῷ Χέκκῳ πολλάκις γράψας, μεταπεῖσαι ἠγωνίσατο· καὶ Γρηγόριος Μαρτῖνος, σοφῶς καὶ γενναίως πρὸς Μεκέρχον ἀγωνισθεὶς· καὶ Ἔρασμος Σμίδιος, καὶ ἄλλοι. Καὶ ἐφεξῆς δὲ ἀεί τινες ἐπὶ καιρῶν ἐγένοντο, οἳ κατὰ τῆς Ἐρασμιακῆς ἐκφωνήσεως ἔγραψαν· ἐν οἷς τὰ πρῶτα φέρειν μοι δοκεῖ Καπεῤῥονιέρος, περὶ τὴν ἀρχὴν τοῦ παρελθόντος αἰῶνος γεγονώς· οὗ τῷ ὀγκώδει καὶ πολυςίχῳ συγγράμματι, ἀνεκδότῳ ἔτι ἐν τῇ Καισαρικῇ Βιβλιοθήκῃ τῇ ἐν Παρισίοις κειμένῳ, ἐν τῇ ἐσχάτῃ τοῦ παρόντος πονηματίου ἀντιγραφῇ ὢν, ἐνέτυχον. Ἀλλ' ἐπὶ τὸ προκείμενον ἐπανιόντες φαμὲν, ὅτι ὃς ταύτην τὴν προφορὰν πρῶτος, ἢ μᾶλλον τῶν ἄλλων, εἰσήγαγεν, Ἔρασμος, οὗτος μετὰ μικρὸν αὖθις αὐτῆς παρημέλησε. Φασὶ γὰρ, τὴν ἀπάτην συνιδόντα, μήτε αὐτὸν ἐς τοὐπιὸν αὐτῇ χρήσασθαι, καὶ τοὺς ἰδίους ἑταίρους μὴ διατηρεῖν αὐτὴν παροτρῦναι· καίτοι ἐν τῷ φανερῷ, δι' αἰσχύνην δήπου καὶ φιλαυτίαν, ἀεὶ τῆς ἑτέρας ὑπάρχων γνώμης ἐφαίνετο. Ἀπόδειξις δὲ τούτου καὶ χειρόγραφός τις τοῦ αὐτοῦ Ἐράσμου πρὸς Δαμιανὸν Γοέσιον τὸν Ἱσπανὸν περὶ τῆς ἑλληνικῆς προφορᾶς διδασκαλία ἐςὶ, μηδενὶ τῆς καθ' ἡμᾶς διαφέρουσα, καὶ ὁ Ἠχὼ ἐπιγραφόμενος αὐτοῦ διάλογος· ἐν ᾧ τῇ λατινικῇ λέξει eruditionis, ὄνοι ςὴ ἠχὼ ἀποκρίνεται· τῇ Episcopi, κόποι· τῇ ariolari, λάροι· τῇ Astrologi, λόγοι· τῇ Grammatici, εἰκῇ· τῇ famelici, λύκοι. Ἰδὲ Μ. Λάγκιον ἐν Συλλογ. Τ. Β'. καὶ Γ. Πλακεντ. ἔνθ. ἀν. σ. 138. καὶ Στέφ. Βινδ. Ἐπισκ. ἔνθ. ἀν. σ. 346.

Adolphus Mekerchus (3), Theodorus Beza, et Jacobus Ceratinus, sequentes: novam hanc, ac dissonam, et quidquid aliud potius, quam græcam prolationem introducere conati sunt; etsi non ex indigenis Græcis, sed ex libris maxima ex parte græcum sermonem didicerint (4). Quod vero ex libris lin-

(3) Hic non solum recentioris prolationis acerrimus propugnator erat; verum etiam multarum dictionum, a prisco jam tempore usitatam significationem, permutare volebat. Contendebat enim συμφορὰν non *calamitatem*, sed *utilitatem* significare; quoniam a συμφέρω, *conducere*, derivatur; et κάθαρμα non *scelus*, sed *probum hominem* significare; quia a καθαίρεσθαι, *impiari*, derivatur. Vide G. Martin. l. c. p. 604.

(4) Ab illo igitur tempore duæ græcam linguam pronunciandi rationes in Europa sunt: *Reuchliniana* nempe, a J. Reuchlino, græcum sermonem juxta nos pronunciante docenteque, cujus asseclæ nunc pauci sunt, sic appellata; ac *Erasmica*, a dicto Erasmo Roterodamo denominationem trahens. Attamen et tunc multi in Europa eruditi, græcæque linguæ compotes, huic inovationi generose se se opposuere: Stephanus nempe Vindoniensis Episcopus, Cantanbriensisque Academiæ Angliæ Cancellarius; qui ac edicto academico novæ prolationis usum impedire tentavit; ac Checcum ipsum multoties literis a hac opinione dimovere conatus est (Vide Syllog. T. II); et Gregorius Martinus; qui erudite ac egregie Mekercho se se opposuit; et Erasmus Schmidt, et alii. Sequenti etiam tempore semper nonnulli, qui contra Erasmicam prolationem scripsere, fuerunt; inter quos primum locum, mea sententia, Caperronierus, qui initio præteriti seculi floruit, tenet; cujus voluminosum, ac multis lineis constans, quod in Bibliotheca Cæsarea Parisiensi ineditum adhuc jacet, opus, dum ultima vice hoc opusculum rescribebam, vidi. Sed ad scopum redeundo dicimus, quod idem Erasmus, qui primus, vel magis quam alii, hanc prolationem introduxerat, post paulum tempus iterum illam neglexerat. Dicunt enim quod, conspecta fraude, nec ipse ea pronunciandi forma postea usus fuerit; nec amicis, cum quibus familiariter vivebat, ut eam observarent, præceperit; licet propalam, ob pudorem certe ac philautiam, priori opinioni adhærere appareret. Hujus vero rei demonstratio est ipsius Erasmi in gratiam Damiani a Goes Hispani prolationis manuscripta formula, in nullo a nostro diversa; et dialogus ejusdem *Echo* appellatus; ubi voci *eruditionis* respondet echo ὄνοις, *Episcopi*, κόποι, *ariolari*, λάροι, *Astrologi*, λόγοι, *Grammatici*, εἰκῇ, *famelici*, λύκοι. Vide M. Lang. in Syllog. T. II. G. Placent. l. c. p. 138. et Steph. Vinton. Ep. l. c. p. 346.

τὴν οἱανοῦν ἐκ τῶν βίϐλων καλῶς μαθεῖν, αὐτόθεν συμφανές. Ἢ τίς γὰρ, πρὸς Διός! ἔχοι ἂν τὴν ποικίλην, φέρ' εἰπεῖν, τῶν γαλλικῶν ϛοιχείων ἐκφώνησιν, μόνος, καὶ ἐκ μόνης τῆς ἐν γραμματικαῖς ὑπογραφῆς τούτων ἐκμαθεῖν, μὴ διὰ ζώσης φωνῆς τοῦ διδάσκοντος αὐτὴν διδαχθείς; Καί γε οὐκ ἀπεικότως. Ὥσπερ γὰρ τὰς ποικίλας τῶν χρωμάτων πρὸς ἄλληλα μίξεις, παμπληθεῖς οὔσας, ὁράσει μόνῃ διαγινώσκομεν, λόγοις δ' ἐκθεῖναι ἀδυνατοῦμεν· οὐδεμία γὰρ ἐν τῷ κόσμῳ ἐστὶ διάλεκτος τοσαύτῃ ἀπειρίᾳ πλουτοῦσα λέξεων· οὕτω καὶ τῶν διαφόρων ἤχων μόνῃ τῇ ἀκοῇ ἀντιλαμϐανόμεθα, γράμμασι δὲ γράψαι οὐκ ἔχομεν (5). Ὡς εἴγε τοῦτο δυνατὸν ἦν, εἶχεν ἄν τις, τὴν τῶν ἑλληνικῶν στοιχείων ἐκφώνησιν ἐκ τῶν τοῦ Ἁλικαρνασσέως Διονυσίου, καὶ τῶν λοιπῶν ἀποδείξας, ἔργου ἀπαλλαγῆναι. Ταύτῃ οὖν τῇ καινοτρόπῳ προφορᾷ μέχρι τοῦ νῦν οἱ πλείους τῶν ἀλλογενῶν παρακολουθοῦντες, τὴν μὲν ἡμετέραν ὡς βάρϐαρον δῆθεν, καὶ βαρϐάρου αἰῶνος γέννημα μυκτηρίζουσιν· ἐκείνην δὲ οὕτως ἐπαινοῦσι, καὶ ἀρχαίαν εἶναι ὑπολαμϐάνουσιν, ὡς εἰ αὐτὴν οὐκ ἐκ τῶν βίϐλων, ἀλλ' ἐκ τῶν χειλέων τοῦ Πλάτωνος, καὶ Ἀριστοτέλους, εἰς τὴν Ἀκαδημίαν, καὶ τὸ Λύκειον φοιτῶντες, ἐμάνθανον.

§. κθ΄. Εἰ δὲ τοῦτο καὶ καθ' ἡμῶν οἱ ἑτερόδοξοι εἴποιεν· ὑπαντῶντες φαμὲν, ὡς εἰ καὶ Πλάτωνες καὶ Ἀριϛοτέλεις ἐκ πολλοῦ ἤδη ἐκ τοῦ ἡμετέρου γένους ἐξέλιπον· ἐν παντὶ ὅμως αἰῶνι ἔσχομεν ἄνδρας, κἂν μὴ ἄλλο, τὴν προγονικὴν γοῦν φωνὴν καλῶς γινώσκοντας, καὶ ταύτην διδάξαι ἔχοντας (§. δ΄. ζ΄. καὶ κγ΄). Καὶ ὥσπερ, ἵνα τ' ἄλλα ἐάσω, παραπολλὰι λέξεις αἱ αὐταί εἰσιν ἔν τε τῇ ἀρχαίᾳ Ἑλληνικῇ, καὶ ἐν ᾗ τὰ νῦν κοινῶς χρώμεθα, οὕτως εἰκὸς καὶ τὸ τῆς προφορᾶς κυριώτερον ἐν αὐταῖς διατηρηθῆναι.

§. λ΄. Τοῖς δ' ἄχρι τοῦ νῦν εἰρημένοις καὶ τοῦτο ἂν ἔχοι κῦρος περιποιήσασθαι, ὅτι οὐδεὶς τῶν Ἑλλήνων σοφῶν, τῶν πρὸ τῆς πτώσεως τῆς ἑλληνικῆς Αὐτοκρατορίας βεϐιωκότων, καθ' ὃν καιρὸν μάλιϛα οἱ ἐναντίοι φασὶ τὴν τῆς ἑλληνικῆς ἐκφωνήσεως

(5) Φωνή ἐϛὶν, ὡς ἂν τις ἀναμφισϐητήτως ἀποδοίη, τὸ ἴδιον αἰσθητὸν ἀκοῆς. Καθάπερ γὰρ μόνης ὁράσεως ἔργον ἐϛὶ τὸ χρωμάτων ἀντιλαμϐάνεσθαι, καὶ μόνης ὀσφρήσεως τὸ εὐωδῶν καὶ δυσωδῶν ἀντιποιεῖσθαι· καὶ ἤδη γεύσεως τὸ γλυκέων, ἢ πικρῶν αἰσθάνεσθαι· οὕτω γένοιτ' ἂν ἴδιον αἰσθητὸν ἀκοῆς ἡ φωνή. Σέξτος πρὸς Μουσικούς.

guam qualemcunque bene discere fieri non possit, per se conspicuum est. Quis enim, Mehercle! multifariam *e. g.* gallicarum literarum prolationem, solus, et ex sola, quæ in grammaticis exstat, harum doctrina, perfecte discere valeat, sine præceptoris eandem docentis viventi voce? Neque immerito. Ut enim diversas et innumeras colorum inter se mixtiones visu solummodo discernimus, verbis vero exponere nequimus; nulla enim dialectus, quæ tantam verborum copiam habet, in mundo datur; sic diversos etiam sonos auditu solo percipimus, literis vero scribere non valemus (5). Quippe si hoc possibile fuisset: non difficile cuidam esset, græcorum elementorum prolatione ex Dionysio Halicarnasseo et cæteris demonstrata, laborem effugere. Hanc igitur novam prolationem usque hodiedum alienigenæ maxima ex parte sequentes: nostram quidem, tanquam barbaram, seculique barbari productionem, derident; illam vero ita laudibus extollunt, et priscam esse putant; ac si eandem non ex libris, sed ex ore Platonis, et Aristotelis, Academiam, ac Lycæum frequentando, didicerint.

§. 29. Si autem hoc contra nos etiam adversarii dicant: respondemus, quod licet Platones et Aristoteles jam diu in nostra natione evanidi sint; omni tamen ævo habuimus viros, si non aliud, paternam tamen linguam bene scientes, aliosque hanc docere valentes (§ 4. 7. et 23). Ac ut permultæ dictiones, ut cætera omittam, eædem sunt, tum in lingua prisca, cum in hac, qua modo communiter utimur; sic verisimile est prolationis magis præcipua puncta in illis conservata fuisse.

§. 30. Hisce vero, quæ nunc usque diximus, hoc etiam auctoritatem comparare potest: quod scilicet nemo Græcorum eruditorum, qui ante destructionem græci Imperii vixerunt, quo tempore præsertim græcam prolationem corrumpi incepisse

(5) Vox est, ut ea potest definiri citra omnem controversiam, proprium sensile auditus. Et quomodo est proprium munus visus colores apprehendere; et solius odoratus vindicare sibi sensum eorum, quæ bene olent et male; et solius gustus munus, quæ dulcia, vel amara sunt, apprehendere; ita etiam vox proprium sensile auditus. Sext. advers. Music.

διαφθορὰν ἄρξασθαι (1), ὑπόνοιάν τινα τοῦ μὴ τὸν Ἕλληνα λόγον ὀρθῶς προφέρεσθαι ἔσχε. Πῶς γὰρ οἷόν τε ἦν, ἵνα τοὺς ἄλλους παρῶ, τὸν βαθύνουν Εὐςάθιον, ἢ Γαζῆν τὸν πολυειδήμονα (§. κη'.), ὧν ἑκάτερον, ὡς πρὸς τὴν τῆς Ἑλληνικῆς γνῶσιν, μυρίων Ἐράσμων, Μεκέρχων, καὶ Χέκκων, καὶ εἰ μὴ τοῦτο φορτικὸν εἴη, πάντων τῶν νῦν Ἑλλήνων τε καὶ Ἑλληνιστῶν προτιμῶ, ταῖς μαρτυρίαις, αἷς οἱ ἐναντίοι ἐξ ἀρχαίων συγγραφέων Ἑλλήνων λαμβάνοντες χρῶνται, μὴ ἀνεγνωκέναι; ἢ ἀναγνόντας μὴ συνιδεῖν; ἢ συνιδόντας μὴ εἰπεῖν; ἢ εἰπόντας μὴ καὶ ἐπανορθῶσαι τὴν προφορὰν ἐπιχειρῆσαι; Εἰ μὲν οὖν ἐκεῖνοι τοιόνδε τι περὶ τοῦ πράγματος ὑπενόουν, πολλοῦ ἂν, μᾶλλον δὲ τοῦ παντὸς ἀξία, ἡ ὑπόνοια αὐτῶν ἦν· ἅτε δὴ πολλῷ ἐγγυτέρω τοῦ χρυσοῦ καὶ ἀργυροῦ τῆς Ἑλλάδος αἰῶνος ὄντων, καὶ πολλὰς τῶν παλαιῶν βίβλους, αἳ νῦν οὐ σώζονται, ἀναγνόντων· ἐπεὶ δ' αὐτοὶ οὐδὲν περὶ τούτου εἶπον· τὰς τῶν ὑστερογενῶν, καὶ ταῦτα ἀλλογενῶν, καὶ μὴ καλῶς τυχὸν τὴν Ἑλλάδα φωνὴν εἰδότων, ὑπονοίας ἀκύρους, καὶ ἀνισχύρους, καὶ καπνοῦ σκιὰν, τὸ τῆς παροιμίας, ὑπάρχειν τίθεμαι. Ἐν μὲν γὰρ τέχναις καὶ ἐπιςήμαις μᾶλλον τοῖς νεωτέροις, ἢ τοῖς ἀρχαίοις ἔσθ' ὅτε πιςεύειν χρεών. Ἐν ταύταις γὰρ, διὰ τῆς τῶν σοφῶν ἀτρύτου φιλοπονίας, προόδου τινὸς ἀεὶ γινομένης, οὐ θαυμαςὸν τοὺς μὲν ἀρχαίους τῆς ἀληθείας ἡμαρτηκέναι, τοὺς δὲ νεωτέρους ταύτης τετυχηκέναι· ἐν δὲ ταῖς μηκέτι λαλουμέναις φωναῖς μᾶλλον τοῖς ἀρχαιοτέροις, καὶ ὁμογενέσι, καὶ ἐγγυτέρω τοῦ αἰῶνος τῶν ἐκείνας λαλούντων ἐθνῶν ὑπάρχουσιν, ἢ τοῖς νεωτέροις τε καὶ ἀλλογενέσι τὸν νοῦν προσέχειν, ἐχέφρονος ἀνδρός ἐςὶ, τό γε μοι δοκοῦν, καὶ τὴν ἱερὰν ἀσπαζομένου ἀλήθειαν.

§. λα'. Κεφάλαιον οὖν· ἐγὼ καὶ πέπεισμαι, καὶ διαβεβαιοῦμαι, καὶ διατείνομαι, ὡς ἡ ἡμετέρα ἐκφώνησις, παρὰ τὰ μικρὰ ἐκεῖνα (§. κζ'.), περὶ ὧν ἐν τοῖς μετὰ ταῦτα ῥηθήσεται, τῇ πατρῴᾳ τε καὶ ἀρχαίᾳ ὁμοία ἐςίν· ἡ δὲ τῶν ἑτεροδόξων ἡμαρ-

(1) Ἔνιοι φασὶν ὡς ἡ τῶν ἑλληνικῶν ςοιχείων ἐκφώνησις ἤδη κατὰ τὸν ἔννατον αἰῶνα ἀπὸ Χριστοῦ διαφθείρεσθαι ἤρξατο. Ἀλλὰ τοῦτο παρὰ μὲν τοῖς πολλοῖς τῶν ἀνθρώπων συμβῆναι, τάχ' ἂν τις ἔχοι συγκαταθέσθαι· τὸ δὲ καὶ τοὺς σοφοὺς καὶ πεπαιδευμένους αὐτὸ παθεῖν, καὶ λίαν δοκεῖ μοι ἀπίθανον.

adversarii dicunt (1), suspicionem quandam, græcum sermonem non recte pronunciari, habuerit. Quo pacto enim fieri posset, alto ingenio præditum, ut cæteros silentio transeam, Eustathium; aut doctissimum Gazam (§. 28), quorum utrumque, quo ad linguæ græcæ notionem, sexcentis Erasmis, Mekerchis, ac Checcis; ac nisi hoc non grave sit, omnibus hodiernis Græcis Hellenistisque antepono, testimonia, quibus adversarii ex priscis Græcis auctoribus depromptis utuntur, non legisse? aut legentes non animadvertere? aut animadvertentes non dicere? aut dicentes non corrigere etiam pronunciationem incipere? Si illi igitur suspicionem aliquam de hac re habuissent: hæc magni, imo vero maximi valoris fuisset; quia propinquiores aureo et argenteo Græciæ seculo erant; multosque priscorum librorum, qui modo non exstant, legerunt; cum illi autem nihil de hac re dixerint: postgenitorum, et quidem alienigenarum, et forsan non bene linguam græcam calentium, suspiciones, irritas penitus, ac invalidas, ac fumi umbram, juxta proverbium, esse existimo. Nam in artibus scientiisque magis recentioribus nonnunquam, quam priscis, mea sententia, credendum est. Cum enim in hisce, ob infatigabile eruditorum studium, semper quidam progressus fiat: non mirandum est veteres quidem in veritate errasse, recentiores vero eandem assecutos esse; in linguis vero, quas nemo amplius loquitur, magis veteribus, ac consanguineis, ac splendido gentium illas loquentium seculo propinquioribus, quam recentioribus, ac alienigenis advertere animo, prudentis hominis, sacramque veritatem amantis, ut mihi videtur, est.

§. 31. Uno verbo: ego et persuasus sum, et affirmo, et contendo, pronunciationem nostram, præter pauca illa (§ 27), de quibus in sequentibus sermo erit, paternæ ac priscæ similem esse; adversariorum autem vitiosam absolute diversam-

(1) Nonnulli dicunt græcarum literarum prolationem jam nono post Christum seculo corrumpi incepisse. Hocce inter plebeos quidem accidisse, aliquis forsan concedet; idem vero ipsos eruditos literatosque passos esse, valde mihi videtur inverisimile.

τημένη ἁπλῶς καὶ διάφορος (1). Ὃ δὴ, ὡς ἔνεςι μάλιςα ἐμοὶ, ἄλλαις τε ἀποδείξεσι, καὶ ἀρχαίων Ἑλλήνων μαρτυρίαις, ὅσας μοι ἐν βραχεῖ καιρῷ ἐγένετο συναγαγεῖν, πιςώσασθαι πειράσομαι. Τὴν δ' ἐνεςῶσαν ἐγκεχείρισμαι πραγματείαν, οὐκ ἐπεὶ ἐμαυτὸν μᾶλλον τῶν ἄλλων ὁμογενῶν ἄξιον τοῦ δε τοῦ ἀγῶνος ὑπέλαβον· ἁ γὰρ Λακεδαίμων, τὸ τοῦ λόγου, πολλῶς ἔχει μέο καῤῥονας. Ἀλλ' ἐπεί γε οὐδεὶς ἐκείνων, ὅσα γε κἀμὲ εἰδέναι, σπουδαίως τοῦτο ἐποίησεν, ἢ μὴ πολλοῦ λόγου αὐτὸ ἄξιον κρινόντων, ἢ ἐν ἄλλοις λυσιτελεςέροις ἀσχολουμένων· αὐτὸς ἠγώνισμαι τοῖς ἡμᾶς διαβάλλουσιν ἀντιτάξασθαι. Καὶ οἶδα μὲν πρὸς πολλοὺς τῶν νυνὶ σοφῶν εἰς ἀγῶνα ἐμαυτὸν καθιςάς· ἀλλὰ τὰς τῶν ἀρχαίων μαρτυρίας ὡς σάκος προβαλόμενος, τὴν τάξιν οὐ καταλείψομαι, ῥίψασπις γενόμενος. Ἐθελοντὴς γὰρ, ὡς ὑπὲρ πατρίδος μαχούμενος, ἀλλ' οὐχ ὡς ξενικός τις ςρατιώτης μισθοφορῶν, ἐν ταύτῃ ἐμαυτὸν ἔταξα. Κἂν δὲ, τῆς ἀσπίδος με προδούσης, ὡς, διὰ τὸ μηδέποτέ με ταῦτα σπουδαίως ἐπιτηδεῦσαι, δεξιότητι ἡφαιςοπόνῳ μὴ χαλκευθείσης, τοῖς τῶν ἐναντίων βέλεσι κατατοξευθῶ· ἀλλὰ καὶ οὕτως οὐδέ ποτε μεταμελήσει μοι τῷ ἔργῳ ἐπικεχειρηκότι.

» Τεθνάμεναι γὰρ καλὸν ἐπὶ προμάχοισι πεσόντα
» Ἄνδρ' ἀγαθὸν περὶ ᾗ πατρίδι μαρνάμενον (2).

---

## ΚΕΦΑΛΑΙΟΝ Β'.

### ΠΕΡΙ ΤΗΣ ΤΩΝ ΣΤΟΙΧΕΙΩΝ ΕΚΦΩΝΗΣΕΩΣ ΕΝ ΕΙΔΕΙ.

#### Περὶ τοῦ α, καὶ β.

§. λϛ'. Ἡ ΜΕΝ τοῦ α (1) ἐκφώνησις ἐςὶν ἀναμφήριςος· τὸ δὲ β προφέρεται οὐχ ὡς τὸ b, ἀλλ' ὡς τὸ v λατινικὸν σύμφωνον. Πίστις

(1) Περὶ δὲ τῆς προφορᾶς τῶν αὐτῶν γραμμάτων, ὥσπερ τὴν νῦν ἐπικρατοῦσαν παρ' ἡμῖν διαφέρειν πως τῆς ἀρχαίας, διὰ τὰς ἐπὶ τοῖς ἀνθρωπίνοις ὑπὸ τοῦ χρόνου προσγινομένας μεταβολὰς, οὐκ ἂν ἀρνηθείην· οὕτω ψευδὲς ἀποφαίνομαι τὴν παρὰ Γαλλοβρεττανογερμανοῖς βαρβαριζομένην Ἑλληνίδα τῇ ἀρχαίᾳ προσεοικέναι. Ἀντών. Κατήφ. Γραμματ. σ. β'.

(2) Τυρταῖος.

(1) Ἐκφωνεῖται δὲ ταῦτα πάντα τὰ γράμματα, τῆς ἀρτηρίας

que (1). Quod pro meo marte, tum aliis demonstrationibus, cum veterum Græcorum testimoniis, quæ in paulo tempore colligere potui, confirmare conabor. Huic tamen operi imposui manum, non quia me ipsum magis ejusdem, quam cæteri consanguinei, dignum esse putavi; nam Lacedæmo, juxta dictum, multos habet me validiores. Verum enimvero cum nemo eorum, in quantum ipsemet scio, hoc serio fecerit; vel quia non magnæ curæ dignum hoc esse putant; vel quia ad alia utiliora incumbunt: ego nos calumniantibus opponere me conatus sum. Equidem scio contra multos nostri ævi eruditos in certamen me adducere; attamen veterum testimonia ante me ut clypeum tenens, ordinem, dejecto illo, non dereliquam. Voluntarius enim, tanquam pro patria pugnaturus, ac non militis alienigenae mercede conducti adinstar in hunc me posui. Si vero, prodente me clypeo; cum ex eo, quod nunquam his serio operam navavi, vulcanea dexteritate non fabricatum sit, contrariorum sagittis confixurus sim: ast nec ita unquam pœnitebit me hoc opus agressum esse.

» Præclarum enim est in prima acie si occidat
» Vir bonus, pro patria sua pugnans (2).

---

## CAPUT II.

### DE PRONUNCIATIONE ELEMENTORUM IN SPECIE.

#### De α, et β.

§. 32. LITERÆ quidem a (1) pronunciatio nullam controversiam habet; β vero non ut b, sed ut ν latina consonans pro-

(1) Quod autem ad pronunciationem literarum attinet: ut hanc quidem, quæ nunc apud nos in usu est, differe aliquid a prisca, ob mutationes a tempore rebus humanis causatas, denegare nequeo; sic mendacium esse assero quod ratio, qua barbarico modo Galli, Angli ac Germani græcum sermonem pronunciant, veteri sit similis. Anton. Catephor. Gram. p. 2.

(2) Tyrtæus.

(1) Hæ autem omnes literæ, arteria spiritum cohibente, et sim-

συνεχούσης τὸ πνεῦμα, καὶ τοῦ ςόματος ἁπλῶς σχηματισθέντος, τῆς τε γλώσσης οὐδὲν πραγματευομένης, ἀλλ' ἠρεμούσης. Πλὴν τὰ μὲν μακρὰ, καὶ τῶν διχρόνων ὅσα μακρῶς λέγεται, τεταμένον λαμβάνει καὶ διηνεκῆ τὸν αὐλὸν τοῦ πνεύματος· τὰ δὲ βραχέα, ἢ βραχέως λεγόμενα, ἐξ ἀποκοπῆς τε καὶ μιᾷ πληγῇ πνεύματος, καὶ τῆς ἀρτηρίας ἐπὶ βραχὺ κενηθείσης, ἐκφέρεται. Τούτων δὲ κράτιςά μὲν ἐςὶ, καὶ φωνὴν ἡδίςην ἀποτελεῖ, τά, τε μακρὰ, καὶ τῶν διχρόνων ὅσα μηκύνεται κατὰ τὴν προφοράν· ὅτι πολὺν ἠχεῖται χρόνον, καὶ τοῦ πνεύματος οὐ κατακόπτει τὸν τόνον· χείρω δὲ τὰ βραχέα, ἢ τὰ βραχέως λεγόμενα· ὅτι μικρόφωνά τε ἐςὶ, καὶ σπαδωνίζει τὸν ἦχον. Αὐτῶν δὲ τῶν μακρῶν εὐφωνότατον τὸ α, ὅταν ἐκτείνηται· λέγεται δὲ, ἀνοιγομένου τοῦ ςόματος ἐπὶ πλεῖςον, καὶ τοῦ πνεύματος ἀναφερομένου πρὸς τὸν οὐρανόν. Δεύτερον δὲ τὸ η, ὅτι κάτω περὶ τὴν βάσιν τῆς γλώσσης ἐρείδει τὸν ἦχον ἀκόλουθον, ἀλλ' οὐκ ἄνω, καὶ μετρίως ἀνοιγομένου τοῦ ςόματος. Τρίτον δὲ τὸ ω· ςρογγύλεται γὰρ ἐν αὐτῷ τὸ ςόμα, καὶ περιςέλλει τὰ χείλη, τήν τε πληγὴν τὸ πνεῦμα περὶ τὸ ἀκροςόμιον ποιεῖται. Ἔςι δὲ ἧττον τούτου τὸ υ· περὶ γὰρ αὐτὰ τὰ χείλη συςολῆς γενομένης ἀξιολόγου πνίγεται, καὶ ςενὸς ἐκπίπτει ὁ ἦχος. Ἔσχατον δὲ πάντων τὸ ι· περὶ τοὺς ὀδόντας τε γὰρ ἡ κρότησις τοῦ πνεύματος γίνεται, μικρὸν ἀνοιγομένου τοῦ ςόματος, καὶ οὐκ ἐπιλαμπρυνόντων τῶν χειλέων τὸν ἦχον. Τῶν δὲ βραχέων οὐδέτερον μὲν εὔηχον, ἧττον δὲ δυσηχὲς τὸ ο· διέςησι γὰρ τὸ ςόμα κρεῖττον θατέρου, τὴν δὲ πληγὴν λαμβάνει περὶ τὴν ἀρτηρίαν μᾶλλον..... Ὀκτὼ δὲ τὸν ἀριθμὸν ὄντων τῶν ἡμιφώνων, πέντε μέν ἐςιν ἁπλᾶ, τό, τε, λ, καὶ τὸ μ, καὶ τὸ ν, καὶ τὸ ρ, καὶ τὸ σ· τρία δὲ διπλᾶ τό, τε ζ, καὶ τὸ ξ, καὶ τὸ ψ. Διπλᾶ δὲ λέγουσιν αὐτὰ, ἤτοι διὰ τὸ σύνθετα εἶναι, τὸ μὲν ζ διὰ τοῦ σ, καὶ δ· τὸ δὲ ξ διὰ τοῦ κ, καὶ σ· τὸ δὲ ψ διὰ τοῦ π, καὶ σ, συνεφθαρμένων ἀλλήλοις, καὶ ἰδίαν φωνὴν λαμβανόντων· ἢ διὰ τὸ χώραν ἐπέχειν δυοῖν γραμμάτων ἐν ταῖς συλλαβαῖς παραλαμβανόμενα..... Ἑκάςου δὲ τούτων κρείττω μὲν εἰσι τὰ διπλᾶ τῶν ἁπλῶν· ἐπειδὴ μείζονά ἐςι τῶν ἑτέρων, καὶ μᾶλλον ἐγγίζειν δοκεῖ τοῖς τελείοις· ἥττω δὲ τὰ ἁπλᾶ· διὰ τὸ εἰς βραχυτέρους τόνους αὐτῶν συνάγεσθαι τὸν ἦχον. Ἐκφωνεῖται δὲ αὐτῶν ἕκαςον τοιόνδε τινὰ τρόπον. Τὸ μὲν λ, τῆς γλώττης πρὸς τὸν οὐρανὸν ἀνιςαμένης, καὶ τῆς ἀρτηρίας συνεχούσης τὸ πνεῦμα· τὸ δὲ μ, τοῦ μὲν ςόματος τοῖς χείλεσι πιεσθέντος, τοῦ δὲ ἤχου διὰ τῶν ῥωθώνων μεριζομένου· τὸ δὲ ν, τῆς γλώττης τὴν φωνὴν τοῦ πνεύματος ἀποκλειούσης, καὶ μεταφερούσης ἐπὶ τοὺς ῥώθωνας τὸν ἦχον· τὸ δὲ ρ, τῆς γλώσσης ἄκρας ἀποῤῥαπιζούσης τὸ πνεῦμα, καὶ πρὸς τὸν οὐρανὸν ἐγγὺς τῶν ὀδόντων ἀνιςαμένης· τὸ δὲ σ, τῆς μὲν γλώσσης προσαναγομένης ἄνω πρὸς τὸν οὐρανὸν, τοῦ δὲ πνεύματος διὰ μέσου αὐτοῦ φερομένου, καὶ περὶ τοὺς ὀδόντας λεπτὸν καὶ ςενὸν ἐξωθοῦντος τὸ σύριγμα. Τρία δὲ τὰ λοιπὰ ἡμίφωνα μικτὸν λαμβάνει τὸν ψόφον, ἐξ ἑνὸς μὲν ἡμιφώνου τοῦ σ,

plici oris conformatione proferuntur; lingua interea nihil adlaborante, ipsa prorsus quieta. Verum longæ, et ancipitum quotquot longo efferuntur tempore, extensum capiunt et continuum spiritus meatum; breves e contra, aut brevi tempore prolatæ, vocis obtusione facta, itemque una spiritus percussione, ipsa leniter arteria ad tempus brevissimum mota, pronunciantur. Ex his præstantissimæ sunt, vocemque adeo jucundissimam edunt longæ, et communium quæcumque inter efferendum producuntur; quippe diu sonant, nec spiritus rescindunt tenorem; breves autem, et breviter dictæ, deteriores habendæ sunt; nam soni sunt exilioris, et quasi castratam vocem emittunt. Inter vocales longas α sonantissima est, quum extenditur; ore enim plurimum dilatato profertur, sursumque spiritu palatum versus sublato. Huic proxima est η, quod infra ad radicem linguæ sonum sequentem sistat, non sursum versum, atque os etiam mediocriter apperit. Tertia est ω; nam in ea exprimenda os rotundatur, contrahuntur labra, et summos oris margines spiritus ferit. Huic deterior est υ; nam labiorum notabili contractione facta præfocatur, et augustus exilisque sonus excidit. Extrema est omnium ι; circa enim dentes spiritus alliditur, ore paululum diducto, nec labra quicquam sonum illuminant. Brevium vero neutra sonora est; o tamen est minus absona; nam latius quam altera diducit os, circa arteriam maxima percussione facta..... Cum vero semivocales octo sint numero: earum quinque simplices reperiuntur, λ, μ, ν, ρ, σ; tres duplices, ζ, ξ, ψ. Vocantur autem duplices, aut quod compositæ sunt, ζ quidem ex σ, et δ; ξ vero ex κ, et σ; atque ψ ex π, et σ, literis se invicem mutua coitione corrumpentibus, ita ut peculiarem vocem singulæ accipiant; aut quod duarum literarum locum in syllabis assumptæ habent..... Sunt autem earum singulæ simplicibus præstantiores cæteris; quoniam pleniores videntur, et perfectarum ad naturam propius accedere; eo autem deteriores simplices; quod breviori ab iis intensione sonus contrahitur. Harum una quæque tali fere modo profertur. Λ, erecta ad palatum lingua, et spiritum arteria constringente; μ, ore labiis compresso, ac per nares undatim emisso spiritu; ν, lingua spiritus impetum intercludente, et sonum ad nares transferente; ρ, spiritum linguæ extremitate vibrante, ad palatum juxta dentes sublatæ; σ, lingua sursum ad palatum adducta, spirituque per medium erumpente, et circa dentes tenuem quendam ejiciente angustumque sibilum. Tres vero reliquæ semivocales mixtum accipiunt sonum, ex una e semivocalibus σ, itemque ex tribus mutis κ, δ, et π. Hæ sunt literarum semivocalium conformationes; non tamen eandem potestatem habent omnes in auditu movendo. Nam eam λ emulcet, semivocalium longe

Digitized by Google

τριῶν δὲ ἀφώνων τοῦ κ, καὶ τοῦ δ, καὶ τοῦ π. Οὗτοι σχηματισμοὶ γραμμάτων ἡμιφώνων· δύνανται δὲ οὐχ ὁμοίως κινεῖν τὴν ἀκοὴν ἅπαντα. Ἡδύνει μὲν γὰρ αὐτὴν τὸ λ, καί ἐστι τῶν ἡμιφώνων γλυκύτατον· τραχύνει δὲ τὸ ρ, καὶ ἔστι τῶν ὁμογενῶν γενναιότατον· μέσως δέ πως διατίθησι τὰ διὰ τῶν ῥωθώνων συνηχούμενα τό, τε μ, καὶ τὸ ν, κερατοειδεῖς ἀποτελοῦντα τοὺς ἤχους· ἄχαρι δὲ καὶ ἀηδὲς τὸ σ, καὶ εἰ πλεονάσειε σφόδρα, λυπεῖ· θηριώδους γὰρ καὶ ἀλόγου μᾶλλον, ἢ λογικῆς ἐφάπτεσθαι δοκεῖ φωνῆς ὁ συριγμός. Τῶν γοῦν παλαιῶν σπανίως ἐχρῶντο τινὲς αὐτῷ καὶ πεφυλαγμένως· εἰσὶ δὲ οἳ ἀσίγμους ᾠδὰς ὅλας ἐποίουν. Δηλοῖ δὲ τοῦτο Πίνδαρος ἐν οἷς φησί. « Πρὶν μὲν ἧρπε σχοινοτενὴ φωνήεντα διθυράμβων, καὶ τὸ σὰν κίβδαλον ἄνθρωποι. » Τριῶν δὲ ἄλλων γραμμάτων, ἃ δὴ διπλᾶ καλεῖται, τὸ ζ μᾶλλον ἡδύνει τὴν ἀκοὴν τῶν ἑτέρων. Τὸ μὲν γὰρ ξ διὰ τοῦ κ, τὸ δὲ ψ διὰ τοῦ π τὸν συρισμὸν ἀποδίδωσι, ψιλῶν ὄντων ἀμφοτέρων· τοῦτο δὲ ἡσυχῇ τῷ πνεύματι δασύνεται, καί ἐστι τῶν ὁμογενῶν γενναιότατον...... Τῶν δὲ καλουμένων ἀφώνων ἐννέα ὄντων, τρία μὲν εἰσὶ ψιλά, τρία δὲ δασέα, τρία δὲ μεταξὺ τούτων. Ψιλὰ μὲν τό, τε κ, καὶ τὸ π, καὶ τὸ τ· δασέα δὲ τό, τε χ, καὶ τὸ φ, καὶ τὸ θ· κοινὰ δὲ ἀμφοῖν τό, τε γ, καὶ τὸ β, καὶ τὸ δ. Ἐκφωνεῖται δὲ αὐτῶν ἕκαστον τόνδε τὸν τρόπον. Τρία μὲν ἀπὸ τῶν χειλέων ἄκρων, τὸ β, καὶ τὸ π, καὶ τὸ φ, ὅταν τοῦ στόματος πιεσθέντος, τὸ προβαλλόμενον ἐκ τῆς ἀρτηρίας πνεῦμα λύσῃ τὸν δεσμὸν αὐτοῦ. Καὶ ψιλὸν μὲν ἐστιν αὐτῶν τὸ π, δασὺ δὲ τὸ φ, μέσον δὲ ἀμφοῖν τὸ β. Τοῦ μὲν γὰρ ψιλώτερον ἐστί, τοῦ δὲ δασύτερον. Μία μὲν αὕτη συζυγία τριῶν γραμμάτων ἀφώνων ὁμοίῳ σχήματι λεγομένων, ψιλότητι δὲ καὶ δασύτητι διαφερόντων. Τρία δὲ ἄλλα λέγεται, τῆς γλώσσης ἅμα τῷ στόματι προσερειδομένης κατὰ τοὺς μετεωροτέρους ὀδόντας, ἔπειθ' ὑπὸ τοῦ πνεύματος ὑποῤῥαπιζομένης, καὶ τὴν διέξοδον αὐτῷ περὶ τοὺς ὀδόντας ἀποδιδούσης, τὸ τ, καὶ τὸ θ, καὶ τὸ δ. Διαλλάττει δὲ καὶ ταῦτα δασύτητι καὶ ψιλότητι. Ψιλὸν μὲν γὰρ ἐστι τὸ τ, δασὺ δὲ τὸ θ, μέσον δὲ καὶ ἐπίκοινον τὸ δ. Αὕτη δευτέρα συζυγία γραμμάτων ἀφώνων. Τρία δὲ τὰ λοιπὰ τῶν ἀφώνων λέγεται μέν, τῆς γλώττης ἀνισταμένης κατὰ τὸν οὐρανὸν ἐγγὺς τῆς φάρυγγος, καὶ τῆς ἀρτηρίας ὑπηχούσης τῷ πνεύματι, τὸ κ, καὶ τὸ χ, καὶ τὸ γ· οὐδενὶ ταῦτα διαφέροντα τῷ σχήματι ἀλλήλων, πλὴν ὅτι τὸ μὲν κ ψιλῶς λέγεται, τὸ δὲ χ δασέως, τὸ δὲ γ μετρίως. Κράτιστα μὲν οὖν ἐστίν, ὅσα τῷ πνεύματι πολλῷ λέγεται· δεύτερα δέ, ὅσα μέσῳ· κακίω δὲ ὅσα ψιλῷ. Ταῦτα μὲν γὰρ τὴν ἑαυτῶν δύναμιν ἔχει μόνον· τὰ δὲ δασέα καὶ τὴν τοῦ πνεύματος προσθήκην, ὥστ' ἐγγὺς τοῦ τελειότατα εἶναι ἐκεῖνα. Διον. Ἁλικ. ἐνθ. ἀν. σ. 21. Καὶ γὰρ δὴ τό, τε σίγμα τῶν ἀφώνων ἐστί, ψόφος τις μόνον, οἷον συριττούσης τῆς γλώττης· τοῦ δ' αὖ βῆτα οὔτε φωνή, οὔτε ψόφος, οὐδὲ τῶν πλείστων στοιχείων· ὥστε πάνυ εὖ ἔχει τὸ λέγεσθαι αὐτὰ ἄλογα· ὧν γε τὰ ἐναργέστατα ἑπτὰ αὐτὰ φωνὴν μόνον ἔχει, λόγον δὲ οὐδοντιναοῦν. Πλάτ. ἐν Θεαιτ. σ. 140. Τούτων

jucundissima; ρ exacerbat, cæterarum ejusdem generis robustissima; sed media quadam ratione nostras aures afficiunt, quæ per nares efferuntur, μ, et ν, corneum quendam edentes sonum; ingrata prorsus et insuavis est σ, et crebro repetita vehementer angit; magis enim agrestium belluarum, et ratione carentium, quam eorum, qui rationali sermone utuntur, videtur esse sibilus. Atque veterum sane nonnulli ea rarius usi sunt et caute; sunt etiam, qui sine hac litera integras odas composuerunt. Quod satis iudicat his verbis Pindarus. « Olim sane exsulerunt junceæ dithyramborum vocales, et illud ô homines! impurum σάν. » Ex tribus autem literis, quæ vocantur duplices, egregie ζ præ cæteris jucundam auribus affert delectationem. Nam ξ, propter κ, et ψ propter π sibilum quendam efficiunt, cum utræque sint tenues; hæc vero sensim spiritu asperiori profertur, inter affines literas generosissima... Ex mutis, ita enim vocantur, quæ novem sunt numero, tres sunt tenues, aspiratæ tres, tres intermediæ. Tenues sunt κ, π, et τ; aspiratæ χ, φ, et θ, utrisque communes γ, β, et δ; Quæ singulæ hoc modo proferuntur. Tres quidem supremis labiis, β, π, et φ, ore scilicet compresso, ubi ex arteria spiritus prorumpens, ipsius vinculum resolvit. Ex his π tenuis est; φ densa; media vero inter utramque β. Earum enim altera tenuior est, altera densior. Hæc quidem conjugatio prima est trium literarum, quæ eadem figura ac habitu vocis proferuntur, tenui solummodo asperoque spiritu differentes. Tres vero aliæ, τ scilicet, θ, et δ, lingua summo oris margini ad dentes superiores affixa, deinde spiritu leniter vibrata, meatumque ipsi circa dentes præbente, nascuntur. Hæ quoque densitate inter se differunt et tenuitate. Nam ex iis tenuis est τ; densa θ; media vero δ, et utriusque communis. Hic alter ordo est mutarum. Reliquæ tres, κ, χ, γ, proferuntur, lingua ad palatum nec procul a gutture sublata, adjutante etiam arteriæ flatu, sonumque subministrante; nec ullo modo habituve sibi invicem differunt, nisi quod tenuiter κ pronuntiatur, χ dense, γ mediocriter, ac media inter eas ratione. Sunt autem præstantissimæ, quæ spiritu copioso proferuntur; quibus proximæ sunt, quæ medio; quæ vero tenuissimo, eæ omnium deterrimæ. Nam hae suam ipsarum solummodo potestatem obtinent; cum densæ et spiritus habeant adjectionem, ita ut paucum absit quin perfectissimæ judicentur. Dion. Halic. l. c. p. 21. Etenim ipsum σ mutarum literarum sonus quidam est, solum lingua veluti sibilante; ipsius autem ζ, neque vox, neque sonus, neque plurimorum elementorum. Quocirca recte admodum absque ratione esse dicuntur; e quibus septem illa notissima vocem habent, rationem vero nequaquam. Plat. in Theæt. p. 140. Harum enim (literarum) aliæ leniores efficiunt

δὴ (τῶν ςοιχείων) τὰ μὲν λειοτέρους ἀποτελεῖ τοὺς φθόγγους, ὡς τὰ φωνήεντα· τὰ δὲ τραχεῖς, ὡς τὰ ἄφωνα· τὰ δὲ μεταξὺ, ὡς τὰ ἡμίφωνα. Καὶ τῶν φωνηέντων τὰ μὲν ἀκώλυτον προφερόμενα τὸν ἦχον, διὸ καὶ σεμνότερα πέφυκεν, ὡς τὰ μακρά· τὰ δὲ εὐθέως περιγράφοντα, ἧττον, ὡς τὰ βραχέα· τὰ δὲ μεταξὺ, κατὰ τὴν τῶν χρόνων ποιότητα, καὶ τῆς εὐφωνίας μετείληφε. Τῶν δ᾽ ἡμιφώνων τὰ μὲν ἐξ ἄκρων τῶν χειλῶν συριγμὸν προϊέντα ςενὸν, τραχύτερα· ὡς τὰ διπλᾶ, καὶ τὸ ἰδιάζον· τὰ δὲ λοιπὰ εὐφωνότερα. Καὶ τούτων τὰ μὲν, τῆς γλώττης, τό, τε πνεῦμα καὶ τὸ ςόμα πληττούσης, ἰδίως τὸ λ, καὶ τὸ ρ· τὰ δ᾽, ἀποκλειομένων τῶν πνευματικῶν πόρων, ἢ καὶ διὰ ῥινὸς προχωροῦντα μόνης, ἔλαττον, ὡς τὸ μ, καὶ τὸ ν. Πάλιν τῶν ἀφώνων τὰ μὲν διὰ τῶν χειλῶν ἠχεῖται μόνων, τοῦ πνεύματος τὴν ἔμφραξιν αὐτῶν κατὰ μέσον ἐκβιαζομένου, ὡς τὸ ϐ, καὶ τὰ τούτου περιεκτικά· τὰ δὲ, τῆς μὲν παρειᾶς ὑποσαιρούσης, τοῦ δὲ πνεύματος ῥαγδαίως καὶ εἰς πλάτος προϊεμένου, ὡς τὸ γ, καὶ τὰ ἑκατέρωσε ἄκρα· τὰ δὲ, τῶν μὲν ὀδόντων ἐπ᾽ ὀλίγον διαζευχθέντων, τῆς δὲ γλώττης οἱονεὶ σφενδονώσης, κατὰ μέσον ἀθρόως τὸ πνεῦμα, ὡς τὸ τ, καὶ θ, καὶ τὸ τούτων μέσον. Τούτων τὰ μὲν ἠρεμαίως προάγοντα τὸν ἀέρα, κἀκ τῶν περὶ τοὺς ὀδόντας τόπων, κέκληταί τε ψιλὰ, καὶ ἔςιν εὐφωνότερα· τὰ δὲ ἔνδοθεν ἐκ φάρυγγος, ὠνόμαςαι δασέα, καὶ ἔςι λίαν τραχέα· τὰ δὲ ἐκ μέσου τοῦ φωνητικοῦ τόπου, μέσα τε εἴρηται, καὶ τῆς ἀμφοτέρων εἴληχε φύσεως. Ἀριςείδ. ἔνθ. ἀν. Β. Β΄. σ. 88. Ἑπτὰ γοῦν τῶν φωνηέντων ὄντων, ἔν τε τοῖς μακροῖς καὶ τοῖς βραχέσι τὰς προειρημένας διαφορὰς ὁρῶμεν. Καθόλου γὰρ τὰ μὲν εἰς μῆκος βροντᾷ τὸ ςόμα, σεμνοτέρους τε τοὺς ἤχους καὶ ἀρρενοπρεπεῖς· τὰ δ᾽ εἰς πλάτος διαιροῦντα, καὶ τὰς ἐκφωνήσεις ἥττους τε καὶ θηλυτέρας ἔχει. Πάλιν δὲ εἰδικῶς, ἐν μὲν τοῖς μακροῖς ἄρρην μὲν ὁ τοῦ ω φθόγγος, ςρογγύλος τε ὢν καὶ συνεςραμμένος θῆλυς δὲ ὁ τοῦ η· διαχεῖται γάρ πως ἐν αὐτῷ τὸ πνεῦμα καὶ διηθεῖται. Ἐν μέντοι τοῖς βραχέσι τὸ μὲν ο τὸν ἄρρενα δηλοῖ, τό, τε φωνητικὸν συνίλλον ὄργανον, καὶ τὸν φθόγγον πρὶν ἐκφωνηθῆναι συναρπάζον· τεθήλυται δὲ τὸ ε, κεχηνέναι πως ἀναγκάζον κατὰ τὴν ἐπαγγελίαν. Τῶν δὲ διχρόνων ἐς μελῳδίαν κράτιςον τὸ α· εὐφυὲς γὰρ διὰ πλάτος τῆς ἠχήσεως ἐς μακρότητα· τὰ δὲ λοιπὰ διὰ λεπτότητα οὐχ οὕτως ἔχει. Ἔςι δέ τινα κἀν τούτοις ἰδεῖν μεσότητα· τὸ μὲν γὰρ α κοινωνίαν τε ἔχον καὶ ἀντιπάθειαν πρὸς τὸ η, εἰ μὲν εἰς ἀντίςροφον χρείαν ἐκείνου παραλαμβάνεται, πέφυκεν ἄρρεν· εἰ δὲ τὴν ὁμοίαν ποιεῖται σημασίαν, τεθήλυται... Τὸ τ τὴν φωνὴν ἐςὶ τελειότατον. Οὔτε γὰρ πνεύματι τραχύνεται ποσῷ, ὡς τὰ δασέα· οὔτ᾽ ἀκίνητον ἐᾷ τὴν γλῶτταν, ὡς τῶν λοιπῶν ψιλῶν ἑκάτερον· οὔτε συριγμὸν ἀγενῆ προΐησι καὶ ἄγροικον, ὡς τὰ διπλᾶ, καὶ τὸ ἰδιάζον· οὔτε λεπτόν ἐςι καὶ ἀσθενὲς, ὡς τὰ ὑγρά. ὁ αὐτ. αὐτ. σ. 92. Τῶν λοιπῶν ὑγρῶν κατὰ πρόεσιν πνεύματος ἐκφωνουμένων; τὸ μ μόνον ἐμφράττοντες ἡμῶν τοὺς πόρους ἐκφωνεῖν βιαζόμεθα. ὁ αὐτ. Β. Α΄. σ. 47.

Digitized by Google

sonos, ut vocales; aliæ asperos, ut mutæ; aliæ medios, ut semivocales. Rursus vocalium aliæ minime impeditum proferunt sonum; unde et gravitatem majorem habent, ut longæ; aliæ, quæ sonum statim circumscribunt, gravitatem habent minorem, ut breves; mediæ, secundum temporum qualitatem, etiam gratioris soni sunt participes. Porro semivocalium illæ, quæ ab extremis labris sibilum angustum emittunt, sunt asperiores, ut duplices, et litera singularis; reliquæ autem soni gratioris. Atque harum aliæ fiunt, lingua spiritum et os percutiente, in primis λ, et ϱ; aliæ, occlusis spirituum viis, aut etiam per nares solas provenientes, illud minus faciunt, ut μ, et ν. Rursus ex mutis, aliæ per sola labia sonum emittunt, spiritu labrorum obstructionem per medium vi recludente, ut β, quæque hanc circumstant; aliæ genis parum diductis, spiritu vero cum impetu in latitudinem prodeunte, ut γ, et quæ utrinque sunt extremæ; aliæ, dentibus paululum disjunctis, lingua vero confestim per medium quasi e fundo projiciente spiritum, ut τ, et θ, harumque media. Atque harum alias, quæ lente aërem propellunt, et ex locis circa dentes, vocarunt tenues, suntque soni gratioris; alias ex interiore gutture profectas, adpellarunt aspiratas, suntque admodum asperæ; alias, ex medio vocis loco, medias dixere, quæ ambarum naturam sunt sortitæ. Aristid. l. c. L. II. p. 88. Cum itaque septem sint vocales, tam in longis, quam in brevibus: prædictas differentias cernimus. In universum enim, quæ in longitudinem os extendunt, sonos magis venerabiles maremque decentes; quæ vero in latitudinem diducunt, pronunciationes quoque debiliores et effeminatiores habent. Rursus specialius in longis masculus est ipsius ω sonus, rotundus consistens et contortus; femineus autem ipsius η; diffunditur enim quodammodo in ipso spiritus et percolatur. Jam vero in brevibus ο marem denotat, et vocis instrumentum coarctans, et sonum, antequam proferatur, simul abripiens; femininam autem naturam obtinuit ipsum ε, hiare aliquo modo cogens in pronunciando. Ex ancipitibus ad melodiam optimum est ipsum α; est enim natura aptum, ob latiorem sonitum, ad longitudinem; reliquæ autem ob tenuitatem se ita non habent. Sed in his quoque aliquam videre est medietatem; nam ipsum α, et communionem habens, et contrariam adfectionem ad ι, siquidem in contrarium ipsi ι usum adsumatur, exsistit masculum; quod si similem facit notationem, femininam naturam consequitur.... Τ vocem habet omnino tenuem. Nec enim multo spiritu asperatur, ut aspiratæ; nec immobilem sinit linguam, ut reliquarum tenuium utraque; nec sibilum emittit ignavum et rusticum, ut duplices, et peculiaris; nec tenue est et infirmum, ut liquidæ. Id. ib. p. 92. Cum reliquæ liquidæ per emissionem spiritus exprimantur: μ solam pronunciationis vias obstruendo exprimere cogimur. id. L. I. p. 47. Vide

δὲ τούτου τὸ λαῦρος ἐπιθετόν ἐςι καὶ διὰ τοῦ β γραφόμενον (2)· οὐ μὴν ἀλλὰ καὶ τὸ μαῦρος, μάβρος· λαυράτον· λαβράτον, Νάυατος, καὶ Νοβάτος, Novatus (3)· Αὔγαρος, Ἄβγαρος. Καὶ τὸν θρακικὸν δὲ ποταμὸν, τὸν διὰ τῆς ἐμῆς πατρίδος ῥέοντα Ἕβρον, εὗρον Εὖρον πολλάκις γραφόμενον (4)· καὶ τὸ Δαβὶδ οὐ μόνον διὰ τοῦ β, ἀλλὰ καὶ διὰ τοῦ υ ἐν ἀρχαιοτέροις χειρογράφοις, καὶ παρὰ Ἰωσήπῳ ἐςί· καὶ τὸ φευρουάριος ὡσαύτως νῦν μὲν διὰ τοῦ υ, νῦν δὲ διὰ τοῦ β. Ὅσα δὲ οἱ ἐναντίοι περὶ τοῦ βῆ βῆ λέγουσι, ταῦτα, ὡς ἐκ ζώων ὄντα, οὐδενὸς λόγου ἄξια κρίνομεν (§. κ'.).

§. λγ'. Καὶ ἡ τοῦ ἑβραϊκοῦ δὲ βὲθ κυρία προφορὰ τῇ τοῦ β, καθ' ἡμᾶς ἐκφερομένου, ἐςὶν ὁμοία· κατὰ δὲ τὸ λατινικὸν b ἐκφωνεῖται, ὅτε αὐτῷ τὴν ςιγμὴν ἐπιγράφουσι (1).

§. λδ'. Καὶ ἐν τῷ τῶν Αἰγυπτίων δὲ Κόπτων ἀλφαβήτῳ, ἐκ τῶν κδ'. ἑλληνικῶν γραμμάτων, οἷς ἐπὶ τῶν Πτολεμαίων ἤδη παραδεξάμενοι χρῶνται, καὶ ἐκ τεσσάρων, ἢ πέντε, κατὰ Ποςέλλου (1), κατὰ δὲ Μουτεφαυκόνιον (2), ἐξ ὀκτὼ ἰδιαιτέρων συγκειμένῳ, τὸ β κατὰ τὴν ἡμῶν προφορὰν ἐκφωνεῖται.

§. λε'. Εἰ δὲ καὶ τῆς Λατινίδος παραδείγμασι χρήσασθαι ἐκ τοῦ

Ἰδὲ περὶ τούτων καὶ Ἑρμογ. περὶ Σεμνότητος. Ἐν γράμμασι τὰ ἡμίφωνα μέσα τῶν ἀφώνων ἐςὶ καὶ τῶν φωνηέντων, τῷ πλέον ἐκείνων ἠχεῖν, ἔλαττον δὲ τούτων. Πλούτ. Πλάτ. Ζητήμ. σ. 1008. Τῶν δὲ ἀφώνων τὰ μὲν κ, π, τ λέγονται ψιλὰ, ὅτι ὀλιγωτέρῳ πνεύματι προφέρονται... Τὰ δὲ θ, φ, χ δασέα, ὅτι δαψιλεςέρῳ πνεύματι προφέρονται· τὰ δὲ β, γ, δ μέσα, ὅτι μετρίῳ πνεύματι προφέρονται. Εἰσὶ δὲ συγγενῆ τὸ μὲν π, β, φ, ψ, ὅτι διὰ τῶν χειλέων προφέρονται.... τὸ δὲ κ, γ, χ, ξ, ὅτι διὰ τοῦ οὐρανίσκου προφέρονται. Κωνς Καραϊωάν. Θησ. Γραμ. Τ. Α'. σ. 109. Ἰδὲ καὶ § ια'. σημ. 4.

(2) Λάβρον σύνηθες διὰ τοῦ β τὸ λίαν βαρύ. Οὕτω καὶ λάβρος ἄνεμος διὰ τοῦ β, ὡς λίαν βαρύνων· εἰ καί τινες ἐπιθυμοῦσι γράφειν αὐτὸν διὰ τῆς αυ διφθόγγου, παρὰ τὴν αὔραν. Καὶ ὁ λαβραγόρας διὰ τοῦ β· οὐχ ἧττον δὲ τούτων ὁ λάβραξ, διὰ τὸ λίαν βορόν. Ἡ μέντοι δημοσία ὁδὸς λαῦρα λεγομένη ἐν Ὀδυσσείᾳ ἐςέρηται ἀναγκαίως τοῦ β, διὰ τὸ ἐπένθεσιν αἰολικὴν ἔχειν τοῦ υ· σύγκειται γὰρ ἐκ τοῦ λαὸν ῥέειν δι' αὐτῆς. Βαρ. ἐν λέξει λάβρον. Ἰδὲ καὶ Ενρ. Στέφ. ἐν λέξει λαῦρος.

(3) Γ. Πλακεντ. ἔνθ. ἀν. σ. 136.

(4) Βαρ. ἐν λέξ. Ἕβρος, καὶ Εὖρος.

(1) Γ. Μαρτ. ἔνθ. ἀν. σ. 584.

(1) Ἔνθ. ἀν. σ. 720.

(2) Ἔνθ. ἀν. σ. 312.

nunciatur. Hujus demonstratio λαῦρος adjectivum est, quod etiam per β scribitur (2). Talia sunt et sequentia, μαῦρος, μάϐρος; λαυράτον, λαϐράτον; Ναύατος et Νοϐάτος, Novatus (3); Αὔγαρος, Ἄϐγαρος. Fluvium etiam Thraciæ per patriam meam fluentem Ἕϐρον inveni Εὖρον multoties scriptum (4). Porro Δαϐίδ non solum per β, sed etiam per υ in veteribus manuscriptis, et apud Josephum scriptum videtur; item de φευρουάριος valet, quod nunc per υ, nunc per β scribitur. Quæ vero adversarii de βῆ βῆ dicunt: hæc, cum ex animalibus depromta sint, nullius valoris esse putamus (§. 20.).

§. 33. Porro literæ hebraïcæ beth propria pronunciatio prolationi β, juxta nos pronunciati, consona est; tunc vero juxta b latinam effertur, dum punctum super illam scribunt (1).

§. 34. In alphabeto etiam Ægyptiorum Coptarum, ex XXIV græcis literis, quibus jam tempore Ptolemæorum acceptis utuntur, et ex quatuor, vel quinque, juxta Postellum (1), juxta Montefaucon (2) vero, ex octo aliis peculiaribus constante, β secundum nostram prolationem profertur.

§, 35. Si vero ex latina etiam lingua exemplis ex abun-

de his et Hermogen. de Gravitate. Literæ eæ, quæ semivocales dicuntur, mediæ sunt inter mutas et vocales, quod his minus, iis plus sonant. Plut. Quæst. Plat. p. 1008. Ex mutis autem, κ, π, τ dicuntur tenues; quia breviori spiritu efferuntur... Δ, φ, χ vero asperæ; quia abundantiori spiritu pronunciantur; sicut ϐ, γ, δ mediæ vocantur; quoniam mediocri spiritu proferuntur. Sunt autem cognatæ, π, ϐ, φ, ψ; quod labiis proferuntur.... Κ, γ, χ, ξ vero, quod palato pronunciantur. Const. Karajoan. Thesaur: Gram. T. I. p. 109. Vide et §. 11, adnot. 4.

(2) Λάϐρον usitate per β scribitur, quod nempe λίαν ϐαρὺ est. Sic et λάϐρος ἄνεμος per β, veluti λίαν ϐαρύνων; quamvis nonnulli ab αὖρα hunc derivantes, per dipthongum αυ scribere desiderent. Per β etiam scribitur λαϐραγόρας, et λάϐραξ, propter λίαν ϐορόν. Attamen via publica λαῦρα dicta in Odyssea necessarie caret β; quia interpositionem æolicam υ habet; constat enim a λαὸν per hanc ῥεῖν. Varin. in λάϐρον. Vide et H. Steph. in λαῦρος.

(3) Γ. Placent. l. c. p. 136.

(4) Varin. in Ἕϐρος, et Εὖρος.

(1) G. Martin. l. c. p. 584.

(1) L. c. p. 720.

(2) L. c. p. 312.



Digitized by Google

περιόντος ἡμῖν ἐξείη· ἱκανὸν τοσοῦτον εἰπεῖν, ὅτι τὸ volo ἐκ τοῦ βούλομαι τινὲς ἡγοῦνται παράγεσθαι· καὶ τὸ vado ἐκ τοῦ βαδίζω· καὶ τὸ vis ἐκ τοῦ βία· καὶ τὸ vita ἐκ τοῦ βίος(1). κ.τ.λ.(2).

§. λς΄. Ἀλλά γε οἱ ὑπεναντίοι φασίν· εἰ τὸ β οὐχ ὁμόφωνον τῷ λατινικῷ b ἦν, ἵνα τί Κικέρων συγχεῖν δοκεῖ τὴν τῶν λέξεων bini καὶ βίνει προφοράν, καὶ τοῖς μὲν Λατίνοις σεμνὴν εἶναι φησὶν, αἰσχρὰν δὲ τοῖς Ἕλλησι(1); Πρὸς τοῦτο ὑπαντῶμεν, οὐ μόνον ὅτι τὸ b καὶ β, ἐν τῇ ἀρχῇ τῶν λέξεων ὄντα, οὐ πάνυ αἰσθητὴν τὴν τῆς ἐκφωνήσεως ποιοῦσι διαφορὰν, ἀλλὰ καὶ ὅτι πρὸς τῶν ἀρχαίων Λατίνων, κατά τινας (2), δασυτέρως, ἢ νῦν, τὸ b ἐξεφωνεῖτο. Ὁμοιότης ἄρα, ἀλλ' οὐ ταὐτότης, ἐν τῇ τοῦ b

(1) Γ. Μαρτ. ἔνθ. ἀν. σ. 589.

(2) Πάντα τὰ ἀπὸ φωνήεντος ἀρχόμενα ψιλοῦσιν Αἰολεῖς· οἷον ἥλιος, ὔμμες· ἢ τοῖς μὲν ἀπὸ φωνήεντος ἀρχομένοις ἀντὶ πνεύματος προςιθέασι τὸ δίγαμμα F· οἷον Fοῖνος, ἀντὶ οἶνος· Fύδωρ, ἀντὶ ὕδωρ· τοῖς δὲ ἀπὸ τοῦ ρ ἀρχομένοις προςιθέασι τὸ β, ἑπομένου δ, κ, τ· οἷον βρόδον, ἀντὶ ῥόδον· βράκος, ἀντὶ ῥάκος· βρυτὴρ, ἀντὶ ῥυτὴρ· ἀρχομένης δὲ τῆς ἑπομένης συλλαβῆς ἀπὸ τοῦ ρ, ψιλοῦσι τὸ ἀρκτικὸν ρ· οἷον ρόριον, ράρος, ρωρός. Οἱ δὲ ἀρχαῖοι τῶν Ἑλλήνων καὶ τοῖς ἐν μέσῳ λέξεως ἐπετίθουν πνεῦμα· οἷον λαὸς, ἀέκων. Τούτοις ἑπόμενοι καὶ οἱ Αἰολεῖς, προσετίθουν ἐν μέσῳ λέξεως τὸ ἑαυτῶν δίγαμμα· οἷον αἰFὼν, ὄFις, ἄFερνος. Οἱ δὲ Κρῆτες ἀντὶ διγάμματος προσετίθουν τὸ β, ὠβὸν καὶ ὠβέον, ἀντὶ ὠὸν λέγοντες. Κωνς. Καρ. Τ. Β΄. σ. 338. Ἰδὲ καὶ τὰ τοῦ Ἀθανασίου §. ιά. σημ. 4. Καὶ Πρισκιαν. ἔνθ. ἀν. Β. Β΄. καὶ ς΄. «Οὕτως οἱ Λατῖνοι τὸ ἑαυτῶν b μετὰ τοῦ v συμφώνου συνέχεον, ὥςτε οἱ Γραμματικοὶ ὑπὸ τῆς τοῦ ἤχου ὁμοιότητος ταραττόμενοι, θάτερον ἀντὶ θατέρου γράφειν ἐπέταξαν. Διὸ καὶ bernam, ἀλλ' οὐ vernam· besicam, ἀλλ' οὐ vesicam· καὶ balvas ἀντὶ valvas γραπτέα εἶναι Ἀδαμάντιος Μαρτύριος ἀποφαίνεται. Μάλιςα καὶ ἐν τοῖς παρὰ Ὄκκωνι τοῦ Καίσαρος Τραϊανοῦ νομίσμασι Danubius, καὶ Danuvius ἀδιαφόρως ἐγκεχαραγμένα ἀναγινώσκονται. Αὐτὸ δὲ τοῦτο ἀναντιῤῥήτως ἀποδεικνύουσι καὶ ἀρχαῖα μάρμαρα συγκεχυμένως παρὰ Γρουτέρῳ, Ῥεϊνεσίῳ, Φαβρέττῳ καὶ ἄλλοις καθορώμενα. Τούτοις δὲ καὶ τὴν νεωςὶ ἀποκαλυφθεῖσαν ἐπιγραφὴν ἡμῖν ἀρέσκει προσθεῖναι, ἐν ᾗ ἔςιν ἰδεῖν primitibo ἀντὶ primitivo, καὶ Β. Α. XII. δηλαδὴ bixit annis XII, ἀντὶ τοῦ vixit.» κ.τ.λ. Γ. Πλακεντ. ἔνθ. ἀν. σ. 120. Ἆρ' οὐκ ἀπόδειξις τούτου ἐςὶ καὶ τὸ τοὺς Ἱσπανοὺς, καὶ τοὺς τῆς Γασκωνίας οἰκήτορας τὸ b ὡς β ἑλληνικὸν τὰ πολλὰ ἐκφωνεῖν;

(1) Επιστ. Β. Θ΄. Επ. κϛ΄.

(2) Γ. Μαρτ. ἔνθ. ἀν. σ. 586.

dantia uti nobis liceat : satis est solummodo dicere, quod nonnulli *volo* a βούλομαι, *vado* a βαδίζω, *vis* a βία, *vita* a βίος (1), etc. derivari putent (2).

§. 36. Attamen contrarii dicunt : si β non consonum latina b esset, quare Cicero dictionum *bini* ac βίνει prolationem confundere videtur; et Latinis verecundam, Græcis vero turpem esse dicit (1)? De quo respondemus quod non solum b, et β, cum in initio dictionum sint, non valde sensibilem prolationis differentiam faciant; verum etiam quod, juxta nonnullos (2), a priscis Latinis aspiratius, quam nunc, b pronunciaretur? Similitudo ergo, non idenditas, in prolatione b, et β

(1) G. Martin. l. c. p. 589.

(2) In omnibus a vocali incipientibus spiritum tenuem Æolenses ponunt; ut ἤλιος, ὕμμες; aut a vocali quidem incipientibus pro spiritu addunt digamma F; ut Fοῖνος pro οἶνος, Fύδωρ, pro ὕδωρ; a ῥ vero incipientibus addunt β, dum δ, κ, τ sequuntur; ut βρόδον, pro ῥόδον, βράκος, pro ῥάκος, βρυτήρ, pro ῥυτήρ; sequente autem syllaba a ρ incipiente, initiali ρ spiritum tenuem ponunt; ut ῤῥόριον, ῤάρος, ῥοεός. Veteres vero Græci etiam super literas in medium dictionum occurentes ponebant spiritum, ut λαὸς, ἀΐκων. Hosce sequentes Æolenses, addebant in medio dictionis suum ipsorum digamma; ut ἀυFὸς, ὄFις, ἄFερος. Cretes vero loco digammatis addebant β, ἀβὸν et ὠβέον, loco ὠὸν dicentes. Const. Kar. T. II. p. 338. Vide et verba Athanas. §. 11. adnot. 4. et Priscian. l. c. L. II, et VI.

(1) Epist. L. IX. Ep. 22.

(2) G. Martin. l. c. p. 586. » Latini vero b suum cum v consonante adeo confuderunt; ut ipsi Grammatici, vicinitate soni perturbati, unam pro alia scribi jusserint. Hinc *bernam*, non *vernam*; *besicam*, non *vesicam*; *balvas* pro *valvas* scribi injunxit Adamantius Martyrius. Quin imo in nummis Trajani Cæsaris apud Occonem *Danubius*, et *Danuvius* promiscue excusum legitur. Idemque invicte probant vetusta marmora passim occurrentia apud Gruterum, Reinesium, Fabrettum, aliosque; quibus hic addere juvat inscriptionem nuperrime erutam, in qua videre est *primitibo* pro *primitivo*, et B. A. XII, nempe *bixit* annis XII, pro *vixit*, etc. G. Placent. l. c. p. 120. An hocce et Hispani, et Gasconiæ incolæ, plerumque b ut β græcum pronunciantes, non demonstrant?

Digitized by Google

καὶ β προφορᾷ ἦν· καὶ οὕτως ἐν γένει καὶ τὰ τοῦ Πλινίου, τὴν δύναμιν πάντων τῶν ἑλληνικῶν ςοιχείων ἐν τοῖς λατινικοῖς γινώσκεσθαι λέγοντος (§. γ'. σημ. 3), ὥς μοι δοκεῖ, ἐκλεπτέα εἰσίν· ἄλλως γὰρ οὔτε καθ' ἡμᾶς, οὔτε κατὰ τοὺς ἐναντίους τὰ ἑλληνικὰ γράμματα προφερόμενα, ταὐτόφωνα πάντα ἐς τὸ ἀκριβὲς τοῖς τῶν Λατίνων εἰσίν. Ἀλλ' ὅτι μὲν τὸ β τῷ b ὁμοιόφωνον ἐν τοῖς τοῦ Κικέρωνος φαίνεται, τοῦτο ἡμῖν οἱ ἐναντίοι προτείνουσι· τὸ δ' ἐκ τούτων τὴν ει τῷ ι ὁμόφωνον ἀποδείκνυσθαι, σιγῇ βαθείᾳ παρέρχονται. Καίτοι καὶ μικρά τις ἐν τῷ β, καὶ b διαφορὰ, ὡς ἐν ἀρχῇ τῶν λεξεων οὖσι, δύναται παροφθῆναι, τῆς ἀμφιβολίας καὶ οὕτω παραμενούσης· ἀλλ' οὐ καὶ ἐν τῇ τῆς ει, καὶ τοῦ ι ἐκφωνήσει τοῦτο συμβαίνει· πάντῃ γὰρ ἂν διάφορος ἡ προφορὰ ἦν, εἴ περ ἡ ει διῃρημένως ἐξεφωνεῖτο.

Περὶ τοῦ γ.

§. λζ'. Τὸ γ οὐχ ὡς τὸ g, ἀλλ' ὡς τὸ λατινικὸν σύμφωνον πρὸ τῶν φωνηέντων προφέρεται. Μάρτυς δὲ τούτου Πλούταρχος ἐν τοῖς ἑξῆς. » Διατί τὰ κρεωπώλια μάκελλα καὶ μακέλλας καλοῦσι Ῥωμαῖοι; Πότερον ἀπὸ τῶν μαγείρων τοὔνομα διαφθαρὲν, ὥσπερ ἄλλα πολλὰ, τῇ συνηθείᾳ κεκράτηκε; Καὶ γὰρ τὸ κ πρὸς τὸ γ συγγένειαν ἔχει παρ' αὐτοῖς. Ὀψὲ γὰρ ἐχρήσαντο τῷ γ, Καρβιλίου Σπορίου προσεξευρόντος (1)». Ἐκ τούτων γὰρ ἀποδείκνυται ὡς οἱ παλαι Ῥωμαῖοι τὸ γ οὐ κατὰ τοὺς Ἕλληνας, ἀλλ' ὡς g προέφερον. Ὃ δὴ καὶ νῦν οἱ ἀλλογενεῖς ποιοῦσι· τῶν Σαξόνων τυχὸν ἐξαιρουμένων, ὧν οἱ πλέιους τὸ g ὡς τὸ ἑλληνικὸν γ προφέρουσιν.

§. λη'. Ὅταν δὲ δύο γ, ἢ θεματικῶς ὡς ἐν τῷ ἄγγελος, ἢ ἐκ συνθέσεως, ὡς ἐν τῷ συγγενής, ἐν μιᾷ ὦσι λέξει, ὡς τὸ λατινικὸν g, πρὸ ἑαυτοῦ ν ἔχον, ὑπὸ τῶν πλειόνων προφέρονται. Προσέτι τὸ γ, καὶ κ τὴν αὐτὴν ἔχουσιν ἐκφώνησιν· ὡς ἐν τῷ ἄγκυρα. Τὴν δὲ τοῦ ν ἔχει ἐκφώνησεν τὸ γ, πρὸ τοῦ ξ ὄν· ὡς ἐν τῷ σφίγξ. Οὐ μὴν ἀλλὰ ὡς ν τὸ γ προφέρεται, καὶ πρὸ τοῦ χ ὄν, εἴτε ἐκ συνθέσεως, ὡς ἐν τῷ ἐγχειρίδιον, εἴτε πρωτοτύπως, ὡς ἐν τῷ λόγχη. Ἐπεὶ πρὸ τούτων ὡς γ προφερόμενον, δυσεκφωνότατόν ἐςι καὶ κακόφωνον.

(1) Κεφαλ. Καταγρ. Ῥωμαϊκ. σ. 277.

erat; et ita in genere verba Plinii, vim omnium græcarum literarum in latinis recognosci dicentis (§. 3. adnot. 3.), intelligenda, ut puto, sunt; secus enim nec juxta nos, nec juxta adversarios literæ græcæ pronunciatæ, consonæ omnes exacte latinis sunt. Attamen quod β consonum literæ b in verbis Ciceronianis esse videatur, hoc nobis contrarii proponunt; quod vero ex hisce diphthongus ει consona ι esse indicetur, de hoc profundum observant silentium. Quanquam et parvula quædam in β, et b differentia, cum in initio dictionum sint, negligi potest, ambiguitate sic etiam permanente; non tamen idem in pronunciatione ει, et ι accidit; penitus enim diversa esset prolatio, si ει divisim proferretur.

## De γ.

§. 37. Γ non ut g, sed ut j latina consonans ante vocales, profertur. Testis vero hujus Plutarchus est in sequentibus. » Cur loca, ubi carnes publice venduntur, μάκελλα et μακέλλας Romani dicunt? An consuetudo, ut multa alia, ita hoc quoque vocabulum a μαγείροις depravatum retinuit? Sunt enim κ, et γ apud illos cognatæ literæ; et γ (id est g) litera sero uti ceperunt, a Spurio Carvilio adjecta reliquis » (1). Nam ex his indicatur quod prisci Romani γ non juxta Græcos, sed ut g pronunciarent. Quod et nunc etiam alienigenæ faciunt; Saxonibus fortasse exceptis, qui maxima ex parte g ut γ græcum proferunt.

§. 38. Dum autem duo γ, sive primitive, ut in ἄγγελος; sive per compositionem, ut in συγγενής, in unam vocem concurrunt: tunc ut latina g, ante se n habens, a plerisque pronunciantur. Eandem prolationem γ, et κ habent, ut in ἄγκυρα. Prolationem vero literæ ν habet γ, dum ante ξ est; ut in σφίγξ. Sicut etiam γ ut ν profertur, dum ante χ, vel per compositionem, ut in ἐγχειρίδιον, vel primitive, ut in λόγχη, est. Nam ante has literas, ut γ pronunciatum, prolatu difficile ac absonum est.

(1) Quæst. Roman. p. 277.

§. λθ΄. Ταύτην δὲ τὴν προφορὰν, καίτοι μὴ πάνυ καινοφανῆ οὖσαν, ὡς ἐκ Στεφάνου τοῦ Βινδονίας Ἐπισκόπου (1), καὶ Μεκέρχου (2), καὶ ἄλλων ἔςι μαθεῖν, οὐκ ἔσχον μαρτυρίαις ἀρχαίων προσεμπεδῶσαι· δοκεῖ μέντοι ὡς ἔν τισι τούτων τὰ τῆς προφορᾶς εἰς τὸ ἡμαρτημένον ἐξώκειλεν (§. κγ΄.). Εἰ μὲν οὖν καὶ τὰ θεματικῶς εὑρισκόμενα δύο γ, ὡς g, ἢ ὡς νγ ἐκφωνητέα εἰσὶν, οὐδέτερον μετὰ βεβαίου τοῦ πείσματος εἰπεῖν ἔχω· καίτοι ἐξ αὐτοῦ τοῦ Πλάτωνος δῆλον, ὅτι τὰ δύο γ διαφόρως τοῦ ἑνὸς πάλαι ἐξεφωνεῖτο (3)· ἔνθα δὲ τὰ δύο γ ἐκ συνθέσεως εἰσίν· τὸ μὲν πρῶτον ὡς ν, τὸ δὲ δεύτερον ὡς γ προφέρειν αἱροῦμαι. Ἐπίσης ἡμαρτημένη μοι δοκεῖ εἶναι καὶ ἡ τοῦ π, τῷ μ ἑπομένου, ὡς b προφορά· δέον τοῦτο ὡς π ἁπλῶς ἐκφωνεῖσθαι. Καὶ ἡ τοῦ τ δὲ, μετὰ τὸ ν ὄντος, ὡς d ἐκφώνησις οὐκ ὀρθή· δεῖ γὰρ καὶ τοῦτο ἐν τοῖς τοιούτοις αὐτὸ καθ᾽ ἑαυτὸ προφέρεσθαι.

Περὶ τοῦ δ.

§. μ΄. Τὸ δ οὐχ ὡς τὸ d, ἀλλ᾽ ὡς τοῖς Ἕλλησι γνωστὸν, ἐκφωνεῖται· ἐν οὐδεμιᾷ γὰρ τῶν νεωτέρων διαλέκτων ἔςι τι γράμμα αὐτῷ ὁμόφωνον. Ἐν μόνῃ δὲ τῇ Ἑβραΐδι τὸ δάλεθ, ἄνευ ςιγμῆς ὂν, κατὰ τὸ ἑλληνικὸν δ προφέρεται (1).

Περὶ τοῦ ε, καὶ ζ.

§. μα΄. Περὶ τοῦ ε οὐδεμία ἐςιν ἀμφισβήτησις· τὸ δὲ ζ προφέρεται οὐχ ὡς τὸ λατινικὸν z, ἀλλ᾽ ὡς τὸ s μεταξὺ δυοῖν φωνηέντων ὑπάρχον. Μαρτυροῦσι δὲ τούτῳ Φώτιος, καὶ οἱ πλείους τῶν συγγραφέων τῆς Βυζαντίδος, τὸ λατινικὸν z διὰ τῶν ςοιχείων τζ ἐκτιθέντες· οἷον Zani, τΖάνοι. κ. τ. λ. Οὕτω καὶ ἄμφω οἱ τΖέτζαι, περὶ τὸν ιϐ΄· αἰῶνα γεγονότες, τὸ ἴδιον ἐπώνυμον γράφουσιν.

§. μϐ΄. Αὖθις ὅτι τὸ ζ καὶ πάλαι οὐχ ὡς τὸ σδ ἐξεφωνεῖτο, Διονύσιος ὁ Ἁλικαρνασσεὺς ἀποδείκνυσι, τὸ ζ ἐκ τοῦ σ καὶ δ συν-

(1) Ἔνθ. ἀν. σ. 205.

(2) Ἔνθ. ἀν. σ. 160.

(3) Ἀλλὰ τοιαῦτα, οἶμαι, ποιοῦσιν οἱ τῆς μὲν ἀληθείας οὐδὲν φροντίζοντες, τὸ δὲ ςόμα πλάττοντες, ὥς᾽ ἐπεμϐάλλοντες πολλὰ ἐπὶ τὰ πρῶτα ὀνόματα, τελευτῶντες ποιοῦσι μηδ᾽ ἂν ἕνα ἀνθρώπων συνεῖναι, ὅ, τι ποτὲ βούλεται τὸ ὄνομα· ὥσπερ καὶ τὴν σφίγγα ἀντὶ σφιγὸς σφίγγα καλοῦσι, καὶ ἄλλα πολλά. Ἐν Κρατύλ. σ. 269.

(1) Γ. Μαρτ. ἔνθ. ἀν. σ. 581.

§. 39. Hanc vero prolationem, quamvis non valde recens sit; ut hoc a Stephano Vintoniensi Episcopo (1), et Mekercho (2), et aliis videre licet, testimoniis priscorum confirmare non potui; videtur tamen quod in nonnullis dictorum prolatio in errorem dilapsa sit (§. 23.). Utrum igitur thematice occurrentia duo γ, ut *g*, vel ut νγ pronuncianda sint: nihil cum plena persuasione dicere possum; licet ex ipso Platone manifestum sit, quod duo γ differenter quam unam olim pronunciarent (3); ubi autem duo γ per compositionem sunt: primum ut ν, secundum ut γ proferre malo. Pari modo pronunciatio π, dum hoc sequitur μ, ut b, vitiosa mihi esse videtur; cum deberet ut π simpliciter pronunciari. T etiam, dum post ν est, ut *d* pronunciatio non est recta; in hisce enim et hoc oportet ut τ proferi.

De δ.

§. 40. Δ non ut d, sed ut Græcis notum est, effertur; in nullo enim recentiorum sermonum est quædam illi consona litera. In sola autem lingua hebraïca daleth, dum sine puncto est, juxta græcum δ pronunciatur (1).

De ε, et ζ.

§. 41. De ε nulla est controversia; ζ vero non ut latina z, sed ut *s*, dum inter duas vocales est, pronunciatur. De hoc vero Photius, et plerique Bysantidis auctorum, latinam z per literas τζ exponentes, testes sunt; ut *Zani*, τΖάνοι, etc. Sic et duo Tzetzæ, qui seculo XII. vixerunt, suum cognomen scribunt.

§. 42. Iterum quod ζ et olim non ut σδ pronunciaretur, Dionysius Halicarnasseus testatur, ζ ex σ, et δ compositum esse dicens, literis se invicem mutua coitione corrumpentibus, ita

(1) L. c. p. 205

(2) L. c. p. 160.

(3) Talia certe, ut arbitror, faciunt, qui oris artificiosam conformationem pluris æstimant, quam veritatem. Quamob rem, cum multa nominibus ipsis adjecerint, tandem effecernnt, ut nemo jam nominum sensum animadvertat; quemadmodum σφίγγα pro σφίγα, proferunt σφίγγα, ac cætera multa. In Cratyl, p. 269.

(1) G. Mart. l. c. p. 581.

τεθῆναι λέγων, συνεφθαρμένων ἀλλήλοις, καὶ ἰδίαν φωνὴν λαμβανόντων (§. λϐ'. σημ. 1). Οὐ δὴ καὶ τοῦτο ἀπόδειξις, ὅτι οἱ Δωριεῖς τὰ πολλὰ ἀντὶ τοῦ ζ τῷ σδ ἐχρῶντο. Εὔλογος γὰρ ἂν ἦν ἡ τῶν ςοιχείων μεταϐολὴ, εἰ τὸ ζ τὴν αὐτὴν προφορὰν τῷ σδ εἶχε. Προσέτι ἐν ταῖς λέξεσιν, ἐν αἷς τὸ σ τοῦ δ ἐκ συνθέσεως προτάττεται, ὡς ἐν τῷ προσδέω, οὐδείς ποτε ἀντὶ τούτων τῷ ζ ἐχρήσατο. Διὸ καὶ τὸ Ἀθήναζε, ἐκ τοῦ Ἀθήνας δε γενόμενον, καὶ ὅσα τοιαῦτα, ἀεὶ διὰ τοῦ ζ διὰ τὸ εὐφωνότερον γράφονται. Ὁ δὲ Μεκέρχος φησὶν (1) ὅτι τὸ ζ οὐκ ἐκ τοῦ σ, καὶ δ, ἀλλ' ἀντιςρόφως ἐκ τοῦ δ, καὶ σ ἐγένετο· ὃ δὴ καί τις τῶν ἡμετέρων Γραμματικῶν ἔναγχος ὑπέλαβεν, ἐκ τοῦ κατὰ διάλεκτον καὶ εἰς δ, καὶ σ τὸ ζ διαλύεσθαι τυχὸν φρεναπατηθείς. Ἀλλὰ τοῦτο, ὡς τῇ τοῦ Διονυσίου καὶ Σέξτου γνώμῃ ἀπᾷδον, ἀποσκορακίζομεν, τὴν κατὰ Μεκέρχον τοῦ ζ, οὕτω προφερομένου, ἡδίςην ἐκφώνησιν ἀηδῆ παντάπασιν ἡμῖν εἶναι ἀποφαινόμενοι.

## Περὶ τοῦ η.

§. μγ'. Ἐν τῷδε τῷ ςοιχείῳ πάντα κάλων, τὸ τῆς παροιμίας, σείουσιν οἱ ὑπεναντίοι, μὴ ὡς μακρὸν ι, ἀλλ' ὡς μακρὸν ε, ἤτοι ὡς δύο ε, αὐτὸ προφέρεσθαι, ἀγωνιζόμενοι ἀποδεῖξαι (1)· ὅτι δ' οὐχ οὕτως ἔχει, ἐκ τῶν ἑξῆς ἔςαι δῆλον. Πρὸ πάντων οὖν φαμὲν μὴ ὀρθὸν εἶναι ἡμῖν δοκεῖν τὸ τῶν ἐναντίων συμπέρασμα· ἐπεὶ γὰρ, φασὶ, τὸ ω ἐκ δυοῖν ο γενόμενον, ὡς ο μακρὸν ἐκφωνεῖται· ὡς μακρὸν ἄρα ε καὶ τὸ η, ἅτε δὴ ἐκ δυοῖν ε τὴν ἀρχὴν ἕλκον, προφέρεσθαι δεῖ· οὐ γὰρ ἀνάγκη καὶ τὴν τῶν δύο ε κρᾶσιν ὡς ε μακρὸν ἠχεῖν, ἐπεὶ καὶ ἡ τῶν δυοῖν ο τοιαύτη ἀπέβη. Μαρτυρεῖ δέ πως τῷ λόγῳ καὶ ἡ τῶν ὀνομάτων διαφορά· τὸ μὲν γὰρ ω, ἅτε δὴ τὴν αὐτὴν ἐκφώνησιν τῶν δυοῖν ο διαφυλάξαν, ω οἱ παλαιοὶ ὁμοφώνως τῷ ο ὠνόμασαν· τὸ δὲ η, ὡς διάφορον τὴν ἐκφώνησιν τοῦ διττοῦ ε ὑπάρχον, ἑτέρῳ ὀνόματι, ἦτα ἀπεκάλεσαν.

§. μδ'. Ἀλλ' εἴ γε τὸ η ὡς ε πάλαι ἐξεφωνεῖτο, ἵνα τί Ἀθηναῖοι τῆς ευ διφθόγγου τὸ ε εἰς η τρέποντες, ηὐχόμην, ἀντὶ εὐχό-

(1) Ἐνθ. ἀν. σ. 65.

(1) Οἶμαι δὲ καὶ διὰ τοῦ Η ςοιχείου τυπώσασθαι τοὺς παλαιοὺς τὴν δασεῖαν· διόπερ καὶ Ῥωμαῖοι πρὸ πάντων τῶν δασυνομένων τὸ H προγράφουσι. Ἀθήν. Β. Θ. Ἰδὲ καὶ §. ιά. σημ. 4.

ut peculiarem vocem singulæ accipiant, testatur (§. 32. adnot. 1.). Quod quidem et per hoc demonstratur, quod Dorienses plerumque loco ζ literis σ δ utebantur. Frustra enim fuisset literarum mutatio, si ζ eandem cum σδ prolationem habuisset. Porro in dictionibus, in quibus σ per compositionem δ præponitur, ut in προσδέω, nemo unquam pro illis ζ usus est. Qua ex re etiam Ἀθήναζε, quod ex Ἀθήνας δε factum est, et quæcunque talia sint, semper per ζ, tanquam sonum meliorem reddens, scribuntur. Mekerchus autem dicit (1) quod ζ non ex σ, et δ, sed vice versa ex δ, et σ factum sit; quod etiam quidam nostrorum Grammaticorum nuperrime putavit: ex eo quod juxta dialectum ζ in δ et σ etiam dissolvitur, in huncce errorem ductus. Sed hoc, tanquam opinioni Dionysii et Sexti contrarium, reprobamus, suavissimam, ut Mekercho videtur, literæ ζ ita pronunciatæ prolationem, penitus ingratam nobis esse dicentes.

## De η.

§. 43. In hoc elemento omnem rudentem, juxta proverbium, adversarii movent, quod idem non ut longum ι, sed ut longum ε, nempe ut duo ε, proferatur, demonstrare conantes (1); rem autem non ita se habere, patebit ex sequentibus. Præ omnibus igitur dicimus contrariorum consequentiam non rectam esse nobis videri; dicunt enim: quoniam ω ex duobus ο factum, ut ο longum pronunciatur; ergo η quoque ut longum ε, tanquam ex duobus ε initium trahens, proferi oportet; non enim duorum etiam ε mixtionem sicut ε longum sonare necesse est; quia talis duorum ο quoque mixtio evaserat. Testis vero hujus rei et nominum quodam modo est differentia; ω enim, ob conservatam amborum ο prolationem, ω veteres literæ ο consone appellarunt; η autem, cum duplici ε quo ad prolationem differat, altero nomine ἦτα nuncuparunt.

§. 44. Attamen si η ut ε olim proferebatur; quare Athenienses ευ diphthongi ε in η mutantes, ηὐχόμην pro εὐχόμην, etc.

(1) L. c. p. 65.

(1) Arbitror vero per literam H veteres δασεῖαν notasse; ideo Romani ante omnes aspiratas literas H scribunt. Athen. L. IX. Vide et §. 11. adnot. 4.

μην, κ. τ. λ. ἔλεγον; ἆρ' ἵν' ἡ συλλαβὴ μακρὰ ἀντὶ βραχείας ἀποβαίη; καὶ μὴν καὶ ἄνευ τούτου ἡ ευ συλλαβὴ μακρὰ ἦν, ὡς δίφθογγος οὖσα· λείπεται οὖν πιστεῦσαι ὡς αὕτη ἡ τροπὴ πρὸς μεταβολὴν τοῦ ε ἤχου εἰς η ἐγίνετο. Περὶ δὲ τούτου καὶ Βαρῖνος ταῦτα φησίν. » Ἡ ευ δίφθογγος, διατί μὴ ἔχουσα ἴδιον μέγεθος οὐ τρέπεται; Χάριν εὐφωνίας οὐ τρέπεται παρ' ἡμῖν· παρὰ δὲ τοῖς Ἀττικοῖς τρέπεται τὸ ε εἰς η, καὶ προσγράφεται καὶ τὸ υ ». Διαφορὰ οὖν τις ἐνταῦθα ὑπάρχουσα καθορᾶται, οὐκ ἐν τῇ μακρᾷ τοῦ ε ἐκφωνήσει, ἀλλ' ἐν τῷ ε, καὶ η, διαφόρως προφερομένοις, κειμένη.

§. με'. Αὖθις τὰ δύο ε πολλάκις εἰς η κιρνῶνται· ἢ τοὔμπαλιν τὸ η εἰς δύο ε διαλύεται, ὡς φιλεέσω ἀντὶ φιλήσω δωρικῶς, καὶ Δημοσθένεε ἢ· καὶ νῦν μὲν ἐν διαλύσει, νῦν δ' ἐν κράσει ταῖςδε ταῖς λέξεσιν οἱ Ποιηταὶ χρῶνται. Τί οὖν τὸ ὄφελος ἐκ τῆς κράσεως καὶ διαλύσεως; ἢ τίς ἡ διαφορὰ ἐν τῇ ἐκφωνήσει τοῦ ἐκ δυοῖν ε κραθέντος η, ἢ τῶν ἐκ τοῦ η διαλυθέντων δυοῖν ε ἦν, εἴπερ ὁμοίως ἀμφότερα ἐξεφέρετο;

§. μς'. Πρὸς τούτοις τὰ ἢ κατὰ πλεονασμὸν, ἢ κατὰ θέμα ἐπαλλήλως εὑρισκόμενα δύο ε, ὡς ἐν τῷ ἐέλδωρ, ἐετῶς. κ.τ.λ. οὐδέποτε εἰς η κιρνῶνται, ὥςε ἧλδωρ, καὶ ἡτῶς γενέσθαι. Εἰ γὰρ τὸ η τοῖς δυσὶν ε ἦν ὁμόφωνον, ἔδει τοῦτο πολλάκις συμβαίνειν.

§. μζ'. Ὅτι δ' οὐ μόνον ἡ τοῦ η προφορὰ, ἀλλὰ καὶ ἡ τοῦ υ, καὶ τῶν ει, οι, η, καὶ υι διφθόγγων τῇ τοῦ ι παρεμφερὴς ἐςὶ, καὶ ἡ τῶν ἀρχαίων Γραμματικῶν περὶ ὀρθογραφίας κανόνες προσμαρτυροῦσιν· οἷος καὶ ὁ ἑξῆς ἐςίν. » Τὰ εἰς ηγω τῷ η παραλήγει· οἷον θήγω· πλὴν τοῦ σιγῶ. κ.τ.λ. τῷ ι· καὶ ἐπείγω, τῇ ει· καὶ ἀνοίγω, τῇ οι· καὶ ςυγῶ, τῷ υ. » Εἰ γὰρ ταῦτα μὴ ἦν ὁμοιόφωνα, οὐκέτι κανόνων ἂν ἔχρῃζεν, ὡς ἐκ μόνης τῆς προφορᾶς ἀλλήλων διακρινόμενα. Ἐνταῦθα δ' ἔχοι ἄν τις προσθεῖναι καὶ ὅσα διὰ τοῦ η, υ, ει, οι, η, καὶ υι γραφόμενα. ἐν πολλοῖς ἀρχαίοις ἀντιγράφοις διὰ τοῦ ι ἡμαρτημένως γεγραμμένα ὁρῶνται. Εἰ γὰρ ταῦτα πάντα μὴ ἦσαν τῷ ι ὁμοιόφωνα, οὐκ ἂν οἱ γραφεῖς, τῆς ὀρθογραφίας ἄπειροι ὄντες, τούτῳ ἀντ' ἐκείνων ἐχρήσαντο.

§. μη'. Ὅτι δὲ τὸ η οὐχ ὡς ε μακρὸν, ἀλλ' ὡς ι μακρὸν πάλαι ἐξεφωνεῖτο, ἄλλα τε πολλὰ μαρτύρια ἐςὶ, καὶ δὴ πάντων τὰ τοῦ

dicebant ? an ut syllaba longa ex brevi evaderet? atqui et sine hoc syllaba ευ, tanquam diphthongus, longa erat; reliquitur igitur credere quod hæc mutatio, ut sonus ε in η permutetur, institueretur. De hoc vero Varinus etiam sic loquitur. » Quare ευ diphthongus, quæ nullam propriam magnitudinem habet, non mutetur? Euphoniae gratia apud nos non mutatur; apud Athenienses autem ε in η mutatur, et υ adscribitur. » Differentia igitur quædam, non in longa ε prolatione, sed in ε, et η diverse prolatis, constans, hic esse videtur.

§. 45. Porro duo ε multoties in η contrahuntur; aut e contra η in duo ε dissolvitur: ut φιλεέσω pro φιλήσω dorice, et Δεοσθένες η; et nunc quidem in dissolutione, nunc vero in contractione his dictionibus Poëtæ utuntur. Quæ utilitas igitur ex contractione dissolutioneque promanaret? aut qualis differentia ex duobus ε contracti η; aut ex η dissolutorum duorum ε esset, si ambo similiter pronunciarentur?

§. 46. Etiam duo ε, quæ sive per pleonasmum, sive primitive, unum post alterum occurrunt, ut in ἐέλδωρ, ἐετῶς. etc. nunquam in η contrahuntur, ut ἦλδωρ, et ἠτῶς fiant. Si enim η duobus ε consonum esset: oporteret hoc multoties accidere.

§. 47. Quod vero non solum literæ η, verum etiam υ, et diphthongorum ει, οι, ῃ, et υι prolatio prolationi ι similis est, etiam priscorum Grammaticorum de orthographia regulæ testantur; qualis et sequens est. « Verba in ηγω desinentia in penultima η habent, ut θήγω; excepto σιγῶ, etc. quæ ι, et ἐπείγω, quod ει, et ἀνοίγω, quod οι, et στυγῶ, quod υ scribitur. » Si enim hæcce similis soni non essent: nequaquam regulis esset opus; siquidem per solam prolationem a se discerni debebant. Hic vero possit quidam illa etiam adferre, quæ, licet per η, υ, ει, οι, ῃ, et υι scribantur, in multis priscis manuscriptis per ι vitiose scripta observantur. Nam si hæc omnia consona ι non essent: non deberent orthographiæ imperiti scribæ loco illorum ι uti.

§. 48. Quod vero η non ut ε longum, sed ut ι longum olim pronunciabatur, et alia multa testimonia sunt, et qui-

Φιλοσόφου καὶ Μάρτυρος Ἰουςίνου ταυτὶ ἐναργέςατα. «Ἐπεὶ ὅσον γε ἐκ τοῦ κατηγορουμένου ὀνόματος (Χριςιανοὶ) χρηςότατοι ὑπάρχομεν.» Καὶ αὖθις· «Χριςιανοὶ γὰρ εἶναι κατηγορούμεθα, τὸ δὲ χρηςὸν μισεῖσθαι οὐ δίκαιον» (1). Οὐ γὰρ ἂν τούτοις Ἰουςῖνος ἐχρήσατο, εἰ τὸ ἐν τῷ χρηςὸν η, τῷ ἐν τῷ Χριςιανοὶ ι μὴ ἦν ὁμόφωνον. Καὶ τὸ ἑξῆς· « Οὗτος ἰσχυρίζεται τὴν Ἰσαυρίαν ἀπὸ τοῦ Ἠσαῦ λαβεῖν τὴν ἐπωνυμίαν» (2). Καὶ τὰ τοῦ Εὐςαθίου.» Τὸ ἶκεν, ἀντὶ τοῦ κατελάμβανεν, ἀεὶ διὰ τοῦ ι παρὰ τῷ Ποιητῇ γραφόμενον, ἀπὸ τοῦ ἵκω, ἐξ οὗ καὶ τὸ ἱκάνω, καὶ ἱκνῶ. Δῆλον δ' ὡς προῆν τὸ ἐν τῷ ι γραφόμενον ἵκω, τοῦ παρὰ τοῖς ὕςερον διὰ τοῦ η· ἐφ' οἷς γέγονε σύμβασις τοῖς Κριτικοῖς, ἵνα μὴ ἀμφιμάχοιντο, γράφεσθαι τοῦ ἵκω τὰ μὲν ἐνεργητικὰ διὰ τοῦ η, τὰ δὲ παθητικὰ διὰ τοῦ ι· καὶ οὕτω φυλάσσονται παρὰ τοῖς μεθ' Ὅμηρον ἄμφω αἱ γραφαί» (3)· κακὴ γὰρ ἂν αὕτη καὶ ἐπίψογος ἦν ἡ τῶν Κριτικῶν σύμβασις, εἰ τὸ η, καὶ ι μὴ ἦσαν ὁμόφωνα. Καὶ αὖθις.» Ὅρα δὲ νῦν μὲν τὸ ἴμεν τεθὲν διὰ τοῦ ι, ἀντὶ τοῦ ἐλθεῖν· μετὰ δὲ δύο ςίχους, ἐν τῷ κεκακωμένοι ἦμεν, ἀντὶ τοῦ ὑπήρχομεν, διὰ τοῦ η. καὶ γίνεται οὕτω ψευδοπαρήχησις λεληθυῖα, οὐ μὴν ἀηδὴς, κατὰ τὸ ἔδδεισαν, οὐδέ τ' ἔδησαν.» (4). Καὶ αὖθις· » Ὅτι Ἶριν ἐνταῦθα εἰπὼν ὁ Ποιητὴς ἐπάγει, ἣ θεοῖσι μετάγγελος, οὐ μόνον ἐτυμολογῶν αὐτὴν ἐνταῦθα, ἀλλὰ καὶ πρὸς σαφήνειαν, καὶ γραμματικὴν διαςολήν. Εἰπὼν γὰρ ὅτι καλέσασα Ἥρη Ἀπόλλωνα Ἶρίν τε, ἐπάγει τὸ, ἣ θεοῖσιν ἄγγελος· ἵνα μὴ ἡ λεκτικὴ προφορὰ πλανήσῃ τινα τὸ Ἶριν αἰτιατικὴν εἶναι τοῦ Ἥρη, κἀντεῦθεν φαίνοιτο καλοῦσα Ἥρη Ἥρην, ἤγουν ἡ Ἥρα ἑαυτήν » (5). Καὶ αὖθις. » Τὸ δὲ ἴχνι ἐρευνῶν, δηλοῖ μὲν τὸ ἰχνηλατεῖν, κρεῖττον δ' ἐκείνου πέφραςαι. Ὅρα δὲ τὸ ἴχνι ἐρευνῶν ἀμφιβλήςρου δίκην ἁλίσκον τοὺς εἰσαγωγικούς. Ἔςι μὲν γὰρ καὶ ἴχνη γράψαι διὰ τοῦ η· τοῦτο δὲ καὶ ἴχνια διὰ τοῦ ι ἐν συναλοιφῇ· ἐπικέκριται δὲ τὸ δεύτερον, ὡς καὶ ποιητικώτερον καὶ πολύχρηςον (6).» Προσέτι κατ' αὐτὸν τοῦτον, καὶ τὸ, ἐπὶ μύλης μῆλ οπα οἶνον,

(1) Ἀπολογ. Β΄. ὑπὲρ Χριςιαν. σ. 54, καὶ 55.
(2) Παρὰ Φωτίῳ. ο϶΄.
(3) Παρεκβ. Ἰλ. σ. 82.
(4) Αὐτ. σ. 828.
(5) Αὐτ. σ. 1009. Ἰδὲ καὶ σ. 94.
(6) Αὐτ. σ. 1197.

dem hæcce Justini Philosophi et Martyris omnium evidentissima. » Nam quantum ad nomen ipsum ( Χριστιανοὶ ) pertinet, quod criminis loco nobis abjicitur, χρηστότατοι certe sumus. « Iterum : » Χριστιανοὶ enim esse deferimur, atqui χρηστὸν odisse injustum est (1). » Non potuisset enim Justinus his uti, si in dictione χρηστὸν η, non fuisset ι, quod in Χριστιανοὶ occurrit, consonum. Et sequens. » Iste contendit Ἰσαυρίαν ab Ἡσαῦ denomiuationem cepisse » (2). Et verba Eustathii. » Ἶκε loco κατελάμβανε, quod semper apud Homerum per ι scribitur, derivatur ex ἵκω, ex quo etiam ἱκάνω, et ἱκνῶ. Manifestum autem est, ἵκω per ι scriptam, ante alterum, quod apud posteriores per η scribebatur, fuisse ; ideo, ad componendas controversias, in conventionem ducti sunt Critici, verbi ἵκω activa per η, passiva vero per ι scribere ; et sic utraque scriptio ab auctoribus, qui post Homerum sunt, conservatur » (3) ; mala enim ac vitiosa hæc Criticorum esset σύμβασις, si η et ι non consone pronunciarentur. Iterum. » Vide autem ἵμεν per ι pro ἐλθεῖν nunc positum ; post duos versus vero in κεκακωμένοι ἧμεν, pro ὑπήρχομεν, per ι; et sic fit pseudoparechesis occulta, non tamen ita injucunda juxta ἔδδεισαν, οὐδέ τ' ἔδησαν (4). « Iterum : » Vide quod hic ἶριν dicens Poëta, postponat ἣ θεοῖσι μετάγγελος ; non solum ut etymologiam istius hic adferat, verum etiam claritatis et grammaticæ distinctionis causa. Cum enim dixerit ὅτι καλέσατο Ἥρη Ἀπόλλωνα Ἶρίν τε, postponit, ἣ θεοῖσιν ἄγγελος, ne lectica prolatio quendam seducat Ἶριν accusativum dictionis Ἥρη esse ; et sic Ἥρη Ἥρην, Ἥρη nempe se ipsam, appellare videatur (5). » Iterum. » Ἴχνι' ἐρευνῶν significat quidem ἰχνηλατεῖν ; melius vero quam illud dictum est. Vide autem quod ἴχνι' ἐρευνῶν retis adinstar tyrones circumvolvat. Potest enim et ἴχνη per η scribi ; etiam et ἴχνια per ι in conjunctione ; anteponitur vero posterius, tanquam magis poëticum et usitatissimum (6). »

(1) Defens. II. pro Christian. p. 54, et 55.
(2) Apud Phot. LXXIX.
(3) Parecb. II. p. 82.
(4) Ib. p. 828.
(5) Ib. p. 1009. Vide et p. 94.
(6) Ib. p. 1197.

ἔχει τινα ἀήθη παρήχησιν (7)· καὶ τὸ, βῆρ' Ἶσον, καὶ Ῥῆσον παρηχεῖ (8)· καὶ τὸ, ἐπὶ Ἴρῳ ἠραφέρων (9)· καὶ τὸ ἀλύεις μετὰ τοῦ ἀλήτου παρηχεῖν ἔοικε (10)· καὶ τὸ, ἤτοι καὶ ἴτυς (11). Καὶ τὸ ἤδη δὲ καὶ ἴδυς τὴν αὐτὴν ἔχειν ἐκφώνησιν· καὶ ἐκ τοῦ, ὕμμ' ἄμμιν, μάμμην ἂν παρακούεσθαι ἔχειν, ὁ αὐτὸς ἀλλαχοῦ φησί.

§. μθ'. Καὶ ἐν τῷ τῶν Αἰγυπτίων δὲ Κοπτῶν ἀλφαβήτῳ τὰ ἑξῆς γράμματα, ὡς ἡμεῖς τὸ η ἐκφωνοῦμεν, προφέρονται· οἷον βίδα, ζίδα, χίδα, θίδα· ἀντὶ βῆτα, ζῆτα, ἦτα, θῆτα (§. λδ'.).

§. ν'. Καὶ Λατῖνοι δὲ ἐν τῇ αὐτῶν λειτουργίᾳ τὸ κύριε ἐλέησον, ἐπὶ τῶν πρώτων ἤδη αἰώνων τῆς Ἐκκλησίας παραδεξάμενοι, καθ' ἡμᾶς, ἀλλ' οὐ κύριε ἐλέεσον ἐκφωνοῦσι (1).

§. να'. Διὰ δὲ τὴν ὁμοίαν τοῦ η καὶ ι ἐκφώνησιν καὶ οἱ Ποιηταί, δοκῶ μοι, τὸν ἠδὲ σύνδεσμον νῦν μὲν διὰ τοῦ η, νῦν δὲ διὰ τοῦ ι, κατὰ τὴν χρείαν τοῦ μέτρου, γράφουσι.

§. νβ'. Καὶ Σουίδας δ' ἐν τῷ λεξικῷ οὐ μόνον τὰς καθ' ἡμᾶς ὁμοφώνους τῶν διφθόγγων, ἀλλὰ καὶ τὰ ὁμόφωνα τῶν φωνηέντων ἐπαλλήλως παρὰ τὴν τάξιν ἔχων τοῦ ἀλφαβήτου, πρὸς τοῖς ἄλλοις καὶ τὴν τοῦ η προφορὰν τῇ τοῦ ι ὁμοίαν εἶναι ἀποδείκνυσιν.

§. νγ'. Ἀλλά γε οἱ πλείους τῶν ἐναντίων Πλάτωνα ἡμῖν προτείνουσι λέγοντα. » Οὐ γὰρ η ἐχρώμεθα, ἀλλὰ ε τὸ παλαιόν. » Ναίχι· ἐξετάσωμεν μέντοι ὅπως ταῦτα Πλάτων ἐκδέχεται, πᾶσαν τὴν περίοδον ἐκτιθέντες. » Πρῶτον μὲν τοίνυν, φησί, τὸ ρ ἔμοι γε φαίνεται ὥσπερ ὄργανον εἶναι πάσης τῆς κινήσεως· ἣν οὐδ' εἴπομεν διότι ἔχει τοῦτο τοὔνομα. Ἀλλὰ γὰρ δῆλον ὅτι ἵεσις βούλεται εἶναι· οὐ γὰρ η ἐχρώμεθα, ἀλλὰ ε τὸ παλαιόν· ἡ δὲ ἀρχὴ ἀπὸ τοῦ κίειν· ξενικὸν δὲ τοὔνομα· τοῦτο δὲ ἐςὶν ἰέναι. Εἰ οὖν τις τὸ παλαιὸν αὐτῆς εὕροι ὄνομα εἰς τὴν ἡμετέραν φωνὴν συμβαῖνον, ἵεσις ἂν ὀρθῶς καλοῖτο. Νῦν δὲ ἀπό τε τοῦ ξενικοῦ τοῦ κίειν, καὶ ἀπὸ τῆς τοῦ ε εἰς η μεταβολῆς, καὶ τῆς τοῦ ν ἐνθέσεως, κίνησις κέκληται (1) ». Ἐκ τούτων οὖν καταφαίνεται

(7) Παρεκβ. Ὀδυσ. σ. 273.
(8) Αὐτ. σ. 362. ἰδὲ καὶ Ἰλ. σ. 767.
(9) Παρεκβ. Ὀδυσ. σ. 366.
(10) Αὐτ. σ. 672.
(11) Παρεκβ. Ἰλ. σ. 456.
(1) Γρηγ. Πλακεντ. ἔνθ. ἀν. σ. 126.
(1) Ἐν Κρατύλ. σ. 274.

Porro, juxta eundem Eustathium, et ἐπὶ μύλης μῆλοπα οἶνον habet aliquam inusitatam parechesin (7); et βῆ ῥ' ἴσον et ῥῆσον parechesin faciunt (8); et ἐπὶ ἴρῳ ἦρα φέρων (9); et ἀλύεις cum ἀλήτῃ (10); et ἤτοι et ἴτυς (11), parechesin facere videntur. Porro et ἥβη et ἴβυς eandem prolationem habere; et ex ὕμμ' ἄμμιν audiri posse μάμμην idem alibi asserit.

§. 49. Etiam in alphabeto Ægyptiorum Coptarum sequentes literæ, sicut nos proferimus η, pronunciantur: ut *vida*, *zida*, *hida*, *thida*, pro βῆτα', ζῆτα, ἦτα, θῆτα. (§. 54.).

§. 51. Latini etiam in sua missa Κύριε ἐλέησον, quod primis jam Ecclesiæ seculis acceperant, juxta nos, et non κύριε ἐλέεσον proferunt (1).

§. 50. Ob similem porro η, et ι prolationem Poëtæ, ut puto, etiam conjunctionem ἠδὲ nunc quidem per η, nunc vero per ι, secundum metri necessitatem, scribunt.

§. 52. Suidas etiam in dictionario, cum non solum consonas juxta nos diphthongos, verum etiam consonas vocales, unam post alteram præter alphabeti ordinem habeat: cum aliis etiam η prolationem similem prolationi ι esse indicat.

§. 53. Ast complures adversariorum Platonem nobis proponunt dicentem. » Non enim η olim, sed ε utebamur ». Utique; videamus tamen quomodo Plato hoc intelligit, integram periodum exponentes. » Principio igitur, ait, ipsum ρ velut instrumentum omnis motus esse mihi videtur; cur autem motus κίνησις appelletur, non diximus. Patet tamen quod ἴεσις esse vult; non enim η quondam, sed ε utebamur; principium autem a κίειν est; quod peregrinum nomen est, et ἰέναι significat. Quare si priscum ejus nomen reperiatur in vocem nostram translatum: recte ἴεσις apellabitur. Nunc autem a κίειν nomine peregrino, et ipsius ε in η commutatione, et ipsius ν interpositione κίνησις nuncupatur. » (1) « Ex hisce

(7) Parecb. Odys. p. 273.
(8) Ib. p. 362. Vide et Il. p. 767.
(9) Parecb. Odys. p. 376.
(10) Ib. p. 672.
(11) Parecb. Il. p. 456.
(1) G. Placent. l. c. p. 126.
(1) in Cratyl. p. 274.

Digitized by Google

ὡς Πλάτων οὐ τὸ η ὡς ε φησὶν ἐκφωνεῖσθαι, ἀλλ' ὅτι πάλαι τὸ κίνησις διὰ τοῦ ε ἐγράφετο, δι' ἣν ἔφθη εἰπὼν ἐτυμολογίαν τῆς λέξεως· εἶτα τοῦ ε εἰς η μεταβληθέντος κίνησις γέγονεν. Οὕτω καὶ τὸ νόησις, κατὰ τὸν αὐτὸν, τὸ ἀρχαῖον νεόεσις ἐκαλεῖτο· ὅτι τοῦ νέου ἐςιν ἕσις ἡ νόησις (2).

§. νδ'. Οὐδὲ τοῦτο δ' ἡμᾶς γε θροήσει, εἴ τις τῶν ἑτεροδόξων αὖθις τὰ Πλάτωνος ἀντιτείνῃ.» Ὅτι οἱ μὲν ἀρχαιότεροι ἱμέραν τὴν ἡμέραν ἐκάλουν, οἱ δὲ ἐμέραν, οἱ δὲ νῦν ἡμέραν· ὅλης γὰρ τῆς περιόδου τοῦ Πλάτωνος ἐκτεθείσης, μηδὲν ταῦτα εἶναι ἀποδειχθήσεται. Φησὶ γὰρ ὁ Πλάτων· » Οἶσθα ὅτι οἱ παλαιοὶ οἱ ἡμέτεροι τῷ ἰῶτα καὶ τῷ δέλτα εὖ μάλα ἐχρῶντο, καὶ οὐχ ἥκιςα αἱ γυναῖκες, αἵ περ μάλιςα τὴν ἀρχαίαν φωνὴν σώζουσι· νῦν δὲ ἀντὶ μὲν τοῦ ι, ἢ ε, ἢ η μεταςρέφουσιν· ἀντὶ δὲ τοῦ δέλτα, ζῆτα, ὡς δὴ μεγαλοπρεπέστερα ὄντα. Πῶς δή; Οἷον οἱ μὲν ἀρχαιότεροι ἱμέραν τὴν ἡμέραν ἐκάλουν, οἱ δὲ ἐμέραν, οἱ δὲ νῦν ἡμέραν... Ὅτι γὰρ ἀσμένοις τοῖς ἀνθρώποις ἱμείρουσιν ἐκ τοῦ σκότους τὸ φῶς ἐγίγνετο, ταύτην ὠνόμασαν Ἱμέραν. κ.τ.λ.» (1). Ἡ γὰρ τριττὴ τῆς λέξεως ταύτης γραφὴ οὐκ εἰς τὴν τῶν ςοιχείων ἐκφώνησιν, ἀλλὰ μᾶλλον εἰς τὴν τῆς λέξεως διάφορον ἐτυμολογίαν τείνει, ἄλλου ἄλλοθεν αὐτὴν πάλαι παράγοντός τε καὶ γράφοντος· ὃ δὴ ἐκ πολλοῦ τοῦ περιόντος καὶ τὰ ἑξῆς ἀποδείκνυσιν· » Οἷον καὶ ἐν τούτῳ, ὃ ἡμεῖς οὐσίαν καλοῦμεν, εἰσὶν οἱ ἐσίαν κάλοῦσιν, οἱ δ' αὖ ὠσίαν... Ἐοίκαμεν γὰρ καὶ ἡμεῖς τὸ παλαιὸν ἐσίαν καλεῖν τὴν οὐσίαν » (3)· οὐ γὰρ ἂν ἔχοι τις εἰπεῖν ὡς πάλαι τὸ ου, καὶ ε, καὶ ω ἦν ὁμόφωνα.

§. νε'. Τινὲς δὲ τῶν ἐναντίων τὰ ἑξῆς τοῦ Γαληνοῦ πρὸς ἐπικύρωσιν τῆς ἑαυτῶν γνώμης προβάλλουσι. » Γραφόντων γὰρ τῶν παλαιῶν τόν τε τοῦ ε δίφθογγον, καὶ τὸν τοῦ η δι' ἑνὸς χρακτῆρος, ὃς νῦν μόνος σημαίνει τὸν ἕτερον φθόγγον τὸν η (ἴσ. ε), πολλὰ γέγονεν ἁμαρτήματα τῶν ἐγγραφομένων, οὐ κατὰ τὴν γνώμην τῶν γραψάντων τὴν μετάθεσιν τῶν γραμμάτων ποιησαμένων. Διὸ προσέχειν ἀκριβῶς χρὴ τοιαύταις γραφαῖς, ἐν αἷς δυνατόν ἐςι τὸν τοῦ η φθόγγον εἰς τὸν τοῦ ε μεταθέντας, ἢ

(2) Αὐτ. σ. 268.
(1) Ἐν Κρατύλ. σ. 271.
(2) Ὁ αὐτ. αὐτ. σ. 264.

igitur liquet Platonem non quod η ut ε pronuncietur dicere, sed quod olim κίνησις per ε scriberetur, ob supra dictam vocis etymologiam; postea vero ε in η mutato κίνησις facta est. Sic et νόησις, juxta eundem, νεόεσις olim nuncupabatur; quia νέου ἔσις est νόησις (2).

§. 54. Nec hocce nos perterrerit, si iterum adversariorum quidam verba Platonis nobis opponat. » Quod vetustissimi ἡμέραν appellarent ἱμέραν, posteriores autem ἑμέραν, hodierni vero ἡμέραν ». tota enim Platonis periodo exposita, hoc nihil esse demonstrabitur. Nam Plato dicit. » Nosti majores nostros ἰῶτα et δέλτα quam bene uti solitos, ac præcipue mulieres, quæ priscum sermonem quam purum servant. Nunc autem pro ι vel ipsum ε, vel η adhibent; pro δ vero ζ, quasi magnificentius quiddam sonent. Quo pacto? Ut vetustissimi ἱμέραν diem vocabant; posteriores autem partim ἑμέραν, partim, hoc quidem tempore, ἡμέραν..... Nam ex eo quod ἱμείρουσι hominibus gratulantibusque e tenebris lumen emicuit, diem ἱμέραν cognominarunt » etc. (1). Triplex enim hujus dictionis scriptio non ad diversam elementorum prolationem, quin potius ad dictionis diversam etymologiam spectat, quolibet quondam aliter eam derivante scribenteqne. Quod ex abundantia sequentia quoque indicant. » Quemadmodum hoc, quod nos οὐσίαν nominamus, quidam ἐσίαν nuncupant, alii ὠσίαν... Videtur enim quod nos etiam quondam οὐσίαν appellaremus ὠσίαν. » (2). Nec enim quidam dicere potest quod ου, et ε, et ω olim consona fuissent.

§. 55. Nonnulli vero contrariorum, ad confirmandam suam opinionem, hæc verba Galeni proponunt. » Nam cum antiqui Græci duo elementa η, et ε eodem charactere notarent, qui nunc solus alterum elementorum, ε nempe, significat: multi errores librariis commissi sunt, non secundum auctorum mentem literarnm permutationem facientibus. Quoque et accurate hujusmodi scripturæ considerandæ sunt, in quibus elementum ε in η transmutantes, et e contrario scriben-

(2) Ib. p. 268.
(1) In Cratyl. p. 271.
2) Id. ib. p. 264.

γράψαντας, ἐπανορθώσασθαι τὴν γραφήν. Ὁμοίως δὲ καὶ ἐπὶ τοῦ ε, καὶ ω ποιητέον· ἐπειδὴ καὶ τούτων ἀμφοτέρων οἱ φθόγγοι δι' ἑνὸς χαρακτῆρος ἐγράφοντο » (1). Ἀλλ' ἐνταῦθα ὁ Γαληνὸς γράφειν φησὶ τοὺς παλαιοὺς τὸν τοῦ η, καὶ ε φθόγγον δι' ἑνὸς χαρακτῆρος τοῦ ε, ἀλλ' οὐχ ὁμοίως ἀμφότερα ἐκφωνεῖν· ἃ δὴ ἀλλήλων τὴν προφορὰν διαφέρειν τό, τὸν τοῦ η φθόγγον εἰς τὸν τοῦ ε μεταθέντας, τρανῶς ἀποδείκνυσιν.

§. νς'. Αὖθις ἀντιτείνουσιν οἱ ὑπεναντίοι· μάτην ἂν ἐν τῇ Ἑλλάδι φωνῇ τὰ διάφορα ἦν ςοιχεῖα, εἰ καὶ τὸν ἦχον ταῦτα μὴ ἀλλήλων διέφερον. Ἀλλὰ τοῦτο καὶ περὶ ἄλλων διαλέκτων ἔχοι ἄν τις εἰπεῖν. Τίνι γὰρ ἐν τῇ λατινικῇ λέξει magnificentia ἡ τοῦ c ἐκφώνησις τῆς τοῦ t διαφέρει; ἢ ἐν ταῖς γαλλικαῖς patience καὶ pension ἡ τοῦ t, καὶ c, καὶ s; ἢ ἐν τῷ age καὶ jaloux ἡ τοῦ j καὶ g; καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως· ἵνα μὴ καλλωπίζεσθαι δόξω, περὶ τῶν ἀκριβῶς γνωριζομένων, ὡς οὐχ ὁμολογουμένων, πίςεις ἐπιφέρων.

§. νζ'. Ὃ δ' ἀμφίβολόν πως, κατὰ πρώτην ἔποψιν τὴν τοῦ η ποιεῖ προφορὰν, τὸ τοῦ Σέξτου ἐςίν. » Εἰ γὰρ τὸ α κατὰ τοὺς Γραμματικοὺς ἐκτεινόμενον καὶ συςελλόμενον, οὐχ ἕτερόν ἐςι ςοιχεῖον, ἀλλ' ἓν κοινόν· ὡσαύτως δὲ καὶ τὸ ι, καὶ τὸ υ· ἀκολουθήσει καὶ τὸ ε, καὶ τὸ η ἓν εἶναι ςοιχεῖον κατὰ τὴν αὐτὴν δύναμιν κοινόν. Ἡ γὰρ αὐτὴ δύναμις ἐπ' ἀμφοτέρων ἐςί· καὶ συςαλὲν μὲν τὸ η, γίνεται ε· ἐκταθὲν δὲ τὸ ε, γίνεται η» (1). Ἀλλ' ἐνταῦθα Σέξτος διὰ τοῦ δύναμις οὐ τὴν αὐτὴν τοῦ η, καὶ ε σημαίνει ἐκφώνησιν, ἀλλ' ἣν ἑκάτερον ἰδιότητα ἔχει, τὸ μὲν διττὸν ε δηλονότι εἰς η κιρνᾶσθαι ἐκτεινόμενον· τοὐναντίον δὲ τὸ η εἰς δύο ε διαλύεσθαι συςελλόμενον· ἀδύνατον γὰρ ἄλλως τὸ η συςαλὲν γενέσθαι ε· καὶ τὸ ε ἐκταθὲν γενέσθαι η. ὃ δὴ μᾶλλον τὰ ἑξῆς ἀποδείκνυσι.» Κατὰ δὲ τὸν αὐτὸν τρόπον καὶ τὸ ο, καὶ τὸ ω μία ςοιχείων γενήσεται φύσις κοινὴ, ἐκτάσει καὶ συςολῇ διαφέρουσα· ἐπείπερ τὸ μὲν ω μακρόν ἐςιν ο, τὸ δὲ ο βραχύ ἐςιν ω » (2). ἐκεῖ μὲν γὰρ ἔφη δύναμις, δι' οὓς ἔφθημεν εἰπόντες λόγους, ἐνταῦθα δὲ

(1) Ἐν Ὑπομν. εἰς τὸ περὶ Ἐπιδ. τοῦ Ἱππ. Β. ς'. ῥησ. μά. Ἔκδοσ. Χαρτ.

(1) Πρὸς Γραμ. κ. έ.
(2) Ὁ αὐτ. αὐτ.

tes, lectionem castigare possumus. Idem et in elemento ο et ω faciendum est; quoniam utriusque figuram uno jam pridem charactere signabantur. » (1). Ast in hisce Galenus scribere antiquos elementa ε, et η uno charactere ε, non autem utrumque eodem modo proferre dicit. Quæ quoad prolationem inter se differre, hocce, *elementum η in ε transmutantes*, magnopere indicat.

§. 56. Porro adversarii objiciunt: frustra in lingua græca diversa elementa essent, si illa sono etiam diversa inter se non fuissent. Attamen idem de aliis quoque linguis possit quidam dicere. Quo enim in latina dictione *magnificentia* prolatio *c* a prolatione *t* differt? aut in gallicis *patience*, et *pension t*, et *c*, et *s* prolatio? aut in *âge*, et *jaloux* pronunciatio *g*, et *j*? ac sic de aliis linguis; ne fortasse ostenturus me ipsum videar, in rebus, quæ probatione non indigent, sed plane patent, et in promptu sunt omnibus, demonstrationes afferens.

§. 57. Prolationem η autem primo intuitu dubiam quodammodo sequens dictio Sexti facit. » Si enim, ut ipsi Grammatici volunt, α dum producitur ac corripitur, non est aliud elementum, sed unum commune; similiter autem et ι, et υ: sequitur ut etiam ε, et η unum sint elementum eadem facultate commune. Est enim vis eadem ac facultas amborum; et correptum η fit ε; productum autem ε fit η (1). » Attamen hic per vocabulum δύναμις Sextus non eandem η et ε prolationem significat; sed proprietatem, quam ambo habent, ut nempe duo ε prolongata in η corripiantur, η vero e contra correptum in duo ε dissolvatur. Secus enim fieri non potest ut η correptum in ε, ε vero productum in η transmutetur. Quod quidem magis sequentia indicant. » Eodem modo autem ο, et ω erit elementi una communis natura, productione differens et correptione; etenim ω quidem longum est ο, ο autem breve est ω (2) ». Illic enim dixit δύ-

(1) In Comment. ad Epid. Hippocr. L. VI. Dict. 41. edit. Chart.

(1) Adversus Grammat. c. 5.
(2) Id. ib.

Digitized by Google

φύσις κοινή, ὅτι ἑκατέρου, παρὰ τὸ μακρὸν καὶ τὸ βραχὺ, ὁμοία ἐστὶν ἡ ἐκφώνησις.

§. νη'. Τί δ' ἂν φαίημεν περὶ τῶν λέξεων, ἐν αἷς οἱ μὲν μεταγενεῖς τῷ η ἐχρῶντο· ἐν δ' ἀρχαίοις νομίσμασι καὶ μνημείοις διὰ τοῦ ε αὗται γραφόμεναι καθορῶνται; Ἢ ὅτι ἔγραφον μὲν αὐτὰς οὕτως οἱ ἀρχαῖοι, χήτει τοῦ η (§ θ'. σημ. 1), ἐξέφερον δὲ τὸ ε κατὰ τὴν ὑπὸ τῶν ὕστερον τοῦ η ἐκφώνησιν (1). Πῶς δὲ καὶ τὰ τοῦ Γαζῆ ληπτέα ἐστίν; » Ἦν μὲν οὖν πάλαι ἴσως οὐ μόνον τὸ ε, καὶ ο τόπος τοῖς τοιούτοις σημείοις (τῇ μακρᾷ καὶ βραχείᾳ), ἀλλὰ καὶ τὸ α, καὶ ι, καὶ υ· νῦν δὲ ἐπὶ μὲν τοῦ ε, καὶ ο περιττά· τὸ γὰρ η, καὶ ω μεταλαμβάνοντες γράφομεν. κ. τ. λ. » (2). Οὐκ ἄλλως δήπου, ἢ ὅτι ὁ Γαζῆς τούτοις τὴν παλαιὰν ὀρθογραφίαν ὑπαινίττεται. Πάλαι γάρ, πρὸ τῆς τοῦ η, καὶ ω εὑρέσεως, ὅτε τὸ ε, καὶ ο, ὡς η, καὶ ω ἐξεφωνοῦντο, τότε τὸ σημεῖον τῆς μακρᾶς αὐτοῖς ἐπετίθετο· τὸ δὲ τῆς βραχείας, ὅτε αὐτὰ καθ' ἑαυτὰ ἐλαμβάνοντο. Οὐ γὰρ ἀεὶ τὸ η, καὶ ω ἀντ' ἐκείνων ἔχομεν μεταλαμβάνοντες γράφειν.

§. νθ'. Ἔσχατον δ' οἱ ἐναντίοι φασίν· εἰ τὸ η, ι, καὶ υ ὁμόφωνα ἦν· ἵνα τί ὁ Ἁλικαρνασσεὺς Διονύσιος τὴν ἑκάστου προφορὰν διαφόρως ὑπέγραψε; Ἀλλὰ τοῦτο ἐστὶν, ὑπαντῶντες φαμὲν, τὸ λεπτὸν ἐκεῖνο καὶ δυσέξοιστον, ὃ ἔφθημεν εἰπόντες, τῆς ἐκφωνήσεως (§. κζ'.), ὅπερ ἀποβαλεῖν οὐκ ἀρνούμεθα. Αὕτη δὲ ἡ τῆς ἐκφωνήσεως τῶν τριῶν τῶνδε φωνηέντων διαφορὰ ἐν τούτῳ μόνον ἔκειτο, ὅτι ὁ τοῦ ι ἦχος τρισὶ τρόποις μικρὸν ἀλλήλων διαφέρουσιν ἐξεφέρετο· οἷα καὶ ἡ τῶν τεσσάρων γαλλικῶν e, é, è, ê ἐστίν. Ὥσπερ γὰρ ταῦτα τέσσαρσι τρόποις μικρὸν ἀλλήλων διαφέρουσι προφερόμενα, τοῦ εἶναι e οὐκ ἐκπίπτουσιν· οὕτω καὶ ὁ τοῦ η, ι, καὶ υ ἦχος, μίξις, ἵν' οὕτως εἴπω, τοῦ ι ἤχου ἦν, βραχύ τι θατέρου τῶν λοιπῶν διαλλάττοντος. Καὶ αὖθις ὥσπερ τὸν τῶν τεσσάρων e ἦχον οἱ μὲν Γάλλοι διαγνώσκουσι καὶ διατηροῦσιν ἀναγνώσκοντες, ἢ λαλοῦντες, οἱ δ' ἀλλογενεῖς οὔτε καλῶς ταῦτα διαγνώσκουσι, καὶ

(1) Τὸ ἀντὶ τοῦ η ἐν παλαιοῖς νομίσμασι, καὶ μνημείοις κ. τ. λ. ὂν ε, οὐ μόνον ε ἁπλῶς γράφεται, ἀλλὰ καὶ οὕτως ε̄, ε̱, εε· ὁμοίως καὶ τὸ ἀντὶ τοῦ ω ὂν ο, οὐ μόνον ἁπλῶς ο, ἀλλὰ καὶ οὕτως ο̄, ο̱, οο. Τί δὲ περὶ τῆς τούτων ἀρχαιότητος δεῖ ὑπολαμβάνειν, ἀλλαχοῦ ἀποχρώντως εἴρηται (§. θ'. σημ. 1.)

(2) Γραμ. Β. Γ'.

ναμις, ob rationes adlatas; hic vero φύσις κοινή; quoniam amborum, præter longitudinem ac brevitatem, eadem est prolatio.

§. 58. Quid autem dicere possimus de dictionibus, in quibus posteriores quidem η utebantur, in vetustissimis vero numismatibus monumentisve per ε illæ scriptæ reprehenduntur? Certum est quod antiquissimi ita quidem hæcce scribebant, ob literæ η carentiam (§. 9. adnot. 1.); pronunciabant vero ε, sicut a posterioribus η proferebatur (1). Porro quomodo verba hæcce Gazæ intelligenda sint? » Erat enim quondam fortasse non solum ε, et ο locus horum signorum (longi et brevis); verum etiam α, ι, et υ; nunc autem in ε, et ο hæc sunt supervacua; nam loco illorum η, et ω scribimus»(2). Non aliter hæc certe intelligenda sunt, quam quod Gaza antiquam orthographiam his subintelligat. Nam olim, ante η, et ω inventionem, dum ε, et ο, ut η, et ω proferebant, tunc signum longi in his ponebant; sicut signo brevi in illis utebantur, dum eadem pro suis ipsis accipiebantur. Nam non semper possumus η, et ω loco illorum scribere.

§. 59. Denique contrarii dicunt: si η, ι, et υ consona essent, quare Dionysius Halicarnasseus cujuslibet horum prolationem diverse descripsit? Ast hoc est, respondemus, subtile illud, expositque difficile, quod antea diximus, prolationis (§. 27.); quod amisisse non denegamus. Ista autem trium vocalium prolationis differentia solummodo in ea re consistebat, quod sonus ι tribus modis paulum inter se differentibus pronunciaretur; qualis etiam quatuor gallicarum *e*, *é*, *è*, *ê* est. Ut enim hæ literæ quatuor modis paulum inter se differentibus pronunciatæ, semper *e* permanent; ita et η, ι, et υ sonus mixtio quædam, ut ita dicam, ι soni erat, paulum uno ab aliis differente. Iterum quemadmodum illarum quatuor *e* sonum Galli quidem et legendo et loquendo dignoscunt conservantque; alienigenæ vero nec bene hocce dignoscunt,

(1) E, quod pro η usitatum in antiquis nummis, monumentis, etc. videtur, non solum ε simpliciter scribitur, sed et ita ε̄, ε̱, εε. Item pro ω usitatum ο non solum simpliciter ο, sed et ita ο̄, ο̱, οο. Quid autem de horum antiquitate putandum sit, alibi satis dictum est (§. 9. adnot. 1).

(2) Grammat. L. III.

δυσκόλως ἐν τῇ ἐκφωνήσει δύνανται μιμηθῆναι· οὕτω καὶ τὴν τοῦ η, ι, καὶ υ διαφορὰν οἱ μὲν πάλαι Ἕλληνες καὶ διεγίνωσκον ἀκούοντες, καὶ διεφύλαττον προϊέντες, τοῖς δ' ἀλλογενέσι καὶ τότε δυσχερὴς ἦν ἡ μίμησις (§. κδ'. σημ. 1) (1). Ἣν δὴ μικρὰν οὖσαν, καὶ γράμμασι γραφῆναι μὴ ἔχουσαν, οὐ θαυμαστὸν καὶ τοὺς Ἕλληνας ἐν τοῖς ἐσχάτοις τῶν αἰώνων ἀποβαλεῖν.

§. ξ'. Ἀλλά γε ταύτην τὴν διαφορὰν οὐ πάνυ δυσχερὲς, οὐδ' ἀδύνατόν ἐστι καὶ ἡμᾶς ἀμωσγέπως νῦν μιμηθῆναι, καὶ διάκρισίν τινα ἐν τῇ τοῦ η, ι, καὶ υ ἐκφωνήσει ποιεῖν· ἐν μὲν τῇ τοῦ η προφορᾷ περὶ τὴν βάσιν τῆς γλώττης τὸν ἦχον ἐρείδοντας, τῶν δ' ἄλλων τὸ μὲν υ συνεσταλμένοις τοῖς χείλεσι, καὶ στενῷ τῷ ἤχῳ προφέροντας, ἐν δὲ τῇ τοῦ ι ἐκφωνήσει περὶ τοὺς ὀδόντας τὸ πνεῦμα κροτοῦντας, καὶ μικρὸν τὸ στόμα ἀνοίγοντας (§. λϐ'. σημ. 1).

§. ξα'. Ταῦτα δὲ τὰ τοῦ Διονυσίου οἱ πλείους τῶν ὑπεναντίων ἀντιτείνουσι, τὸ η, καὶ υ μὴ ὁμόφωνα εἶναι τῷ ι ἀποδεῖξαι πειρώμενοι· οὐδεὶς μέντοι προσέσχε τὸν νοῦν οἷς ὁ αὐτὸς περὶ τοῦ ε καὶ η λέγει, τὴν ἑκατέρου ἐκφώνησιν διαφόρως παντάπασιν ἐκτιθείς. Εἰ γὰρ τὸ η ὡς ε μακρὸν ἐξεφέρετο, τί τὸ ἐκεῖνον καταναγκάσαν διαφόρως τὸν ἦχον αὐτῶν ὑπογράψαι; ὅπου γε τὸ η ὡς δύο ε, ἢ ὡς μακρὸν ε ἐκφωνεῖσθαι εἰπὼν, ἔργου ἂν ἀπηλλάγη, εὐληπτότερόν τε τὸν λόγον ἀπέφηνε (§. λϐ'. σημ. 1.);

Περὶ τοῦ θ, καὶ τῶν λοιπῶν ἄχρι τοῦ ρ.

§. ξϐ'. Τὸ θ ἐκφωνεῖται κατὰ τὰ ἀγγλικὰ στοιχεῖα th (§. κδ'. σημ. 1)· καίτοι οὐδὲ ταῦτα ἐς τὸ ἐκριβὲς ἐκείνῳ εἰσὶν ὁμοιόφωνα· τὰ δὲ λοιπὰ ἀναμφίλεκτα, πλὴν τοῦ π. Ἀλλὰ τὴν ἡμετέραν περὶ τούτου δόξαν ἔφθημεν προειπόντες (§. λθ'.).

Περὶ τοῦ σ, καὶ τ.

§. ξγ'. Τὸ σ ὡς τὸ λατινικὸν s, ἡνίκα τοῦτο πρὸ συμφώνων ἐστὶ, προφέρεται. Πρὸ δὲ τοῦ ϐ, γ, δ, λ, μ, ν, καὶ ρ εὑρεθὲν,

(1) Ταύτας τὰς δύο θέσεις ἐπαναλαμβάνων φημί· ά. ὡς δεῖ συγκαταθέσθαι διαφοράν τινα ἐν τῇ τῶν ἀμφισϐητουμένων γραμμάτων καὶ διφθόγγων προφορᾷ πάλαι πεφυκέναι. β'. ταύτην τὴν διαφορὰν οὕτω μικρὰν καὶ λεπτὴν πεφυκέναι, ὥστε μόγις τοῖς λίαν προσέχουσι καταληπτὴ ἦν· καὶ μόλις οἱ ἐν παιδικῇ ἡλικίᾳ, καὶ διὰ ζώσης φωνῆς τὴν ἑλληνικὴν διάλεκτον μεμαθηκότες Ἕλληνες μιμηθῆναι ταύτην ἐδύναντο. Ἐρ. Σμιδ. ἔνθ. ἀν. σ. 648. Ἰδὲ καὶ σ. 654.

difficiliusque eadem in pronunciatione imitari possunt; ita et η, ι, et υ differentiam veteres quidem Græci et distinguebant audientes, et conservabant pronunciantes; alienigenis vero et tunc hæc imitatio difficilis erat (§ 24. adnot. 1) (1). Non mirum est igitur Græcos in ultimis seculis hanc differentiam amisisse, cum ita parvula sit, literisque scribi non possit.

§. 60. Attamen non valde difficile, nec impossibile esse videtur nos etiam aliquid hanc differentiam nunc imitari, distinctionemque quandam in prolatione η, ι, et υ facere, in pronunciatione quidam η infra ad radicem linguæ sonum sistentes; ex cæteris vero υ contractis labiis, angustoque sono proferentes; in prolatione autem ι circa dentes spiritum allidentes, orę paululum diducto (§. 32. adnot. 1).

§. 61. Hæc quidem Dionysii Halicarnassei verba complures contrariorum objiciunt, quod η, et υ non ut ι pronunciantur demonstrare conantes; nemo autem mentem adhæsit illis, quæ idem Dionysius de ε, et η dicit: cum utriusque prolationem penitus diverse exponat. Si enim η ut longum ε pronunciaretur: quid coëgit Dionysium sonum eorundem diverse describere; cum η ut duo ε, aut ut longum ε pronunciari dicendo, opere fuisset absolutus, facilioremque intellectu sermonem reddidisset (§. 32. adnot. 1),

De ϑ, et sequentibus usque ad ρ.

§. 62. Θ secundum anglicas literas th profertur (§. 24. adnot. 1.); etsi nec hæ exacte illi consonæ sint; reliquæ autem nullam controversiam habet, excepto π; de quo nostram opinionem jam exposuimus (§. 59.).

De σ, et τ.

§. 63. Σ ut latina s, dum ante consonantes est, pronunciatur. Dum vero σ ante ϐ, γ, δ, λ, μ, ν, et ρ occurrit, prolationem ζ

(1) Repeto autem duas hasce theses, I. concedendum esse, fuisse aliquod discrimen pronunciationis literarum et diphthongorum controversarum. II. Discrimen illud subtile et exile fuisse adeo, ut nec, nisi quis diligentissime attenderit, perceptibile satis fuerit: nec, nisi quis græcam linguam a puero vernaculam ex viva voce habuerit, imitabile. E. Schmidt. l. c. p. 648. Vide et p. 634.

τῷ ζ πως ἐςὶν ὁμοιόφωνον· ὡς ἐκ τῶν ἑξῆς ἀποδείκνυται.» Ποιότητι δὲ κεῖται ἡ ὀρθογραφία, ὅταν σκεπτώμεθα πότερον διὰ τοῦ ζ γραπτέον ἐςὶ τὸ σμιλίον καὶ τὴν σμύρναν, ἢ διὰ τοῦ σ» (1)· οὐ γὰρ ἐχρῆν τούτου πέρι σκέπτεσθαι, εἰ τὸ σ ἐν ταῖς δε ταῖς λέξεσιν οὐκ ἦν τῷ ζ ὁμόφωνον. Καὶ αὖθις· » Ὅτι δὲ ἀνεξίκακόν εἰμι γράμμα, μαρτυρεῖτέ μοι καὶ αὐτοὶ, μηδέ ποτε ἐγκαλέσαντι τῷ ζ σμάραγδον ἀποσπάσαντί μου, καὶ πᾶσαν ἀφελομένῳ τὴν σμύρναν» (2). Διὸ καὶ ἐν ἀρχαίοις τῆς πόλεως Σμύρνης νομίσμασι τὸ Σμυρνάιων διὰ τοῦ ζ γραφόμενον καθορᾶται (3). Ὅτι δὲ τὸ τῷ ν ἑπόμενον τ ἡμαρτημένως ὡς d προφέρεται, ἐν τοῖς ἀνωτέρω παρεσημάνθη (§. λθ'. ).

Περὶ τοῦ υ, καὶ τῶν λοιπῶν ἁπάντων.

§. ξδ'. Τὸ υ προφέρεται οὔτε ὡς τὸ λατινικὸν u, οὔτε ὡς τὸ γαλλικὸν u, ἀλλὰ μᾶλλον ὡς τὸ ι· περὶ τὰ χείλη μέντοι συστολῆς γενομένης ἀξιολόγου, καὶ ςενοῦ τοῦ ἤχου ἐκπίπτοντος (§. λϛ'. σημ. 1. καὶ §. ξ'.)· ὥςε τῇ τοῦ γαλλικοῦ u προφορᾷ βραχύ τι ἐμφερὲς εἶναι.

§. ξε'. Ὅτι δὲ ἡ τῆς ἐκφωνήσεως τοῦ υ, καὶ ι διαφορὰ καὶ πάλαι μικρὰ λίαν καὶ ἀνεπαίσθητος ἦν, οἷς κατὰ παρήχησιν Ποιηταὶ καὶ Συγγραφεῖς ἐχρήσαντο μαρτυροῦσιν. Οἷον, φίλησε φῦλον ἀοιδῶν· καὶ φῦναι Φινέα· καὶ Φυλέα φίλον μακάρεσσι θεοῖσι (1)· καὶ ὠδίνων ὀδύναις· καὶ ἔκειτο ἐν φύλλοις φίλον τετιημένος ἦτορ (2). Τοιοῦτον καὶ τὸ τοῦ Αἰσώπου πρὸς τοὺς ὑπὸ Ξάνθου εἰς δεῖπνον προσκληθέντας Σχολαςικοὺς προβαλλόμενον. Ὁ μὲν γὰρ τυχὸν, τί σείει ὁ κύων; ἠρώτα· οἱ δὲ τοῦτο, διὰ τὸ τῆς ἐκφωνήσεως δήπου παρεμφερὲς, ἀντὶ τοῦ, τίς σὺ εἶ ὦ κύων; λαμβάνοντες, ὡς ὑβριζόμενοι ἀνεχώρουν. Ἔοικε γὰρ ὡς Μάξιμος ὁ Πλανούδης, οὗ ἡ μαρτυρία οὐ πολλοῦ λόγου τυχὸν ἀξία τοῖς ἐναντίοις φανεῖται, τὸν τοῦ Αἰσώπου βίον συγγράφων, ὃν τὰ αὐτῷ ἐπελθόντα, ἀλλὰ τὰ μνήμῃ παρὰ τῶν πρότερον ἄχρι τότε διασωθέντα δεδεγμένος, εἰς ἓν συνήγαγεν.

(1) Σέξτος πρὸς Γραμματ. κ. θ'.

(2) Λουκιαν. Δίκ. Φωνηέντ.

(3) Οἱ παλαιοὶ τὸ σμικρὸν καὶ σμύρνα καὶ σμερδαλέον διὰ τοῦ ζ ἔγραφον. Κ. Καραϊωάν. Τ. Α'. σ. 280.

(1) Εὐςάθ. παρεκβ. Ἰλ. σ. 94.

(2) Ὁ αὐτ. παρεκβ. Ὀδυσ. σ. 366.

quodammodo obtinet; ut ex sequentibus demonstratur. » Qualitate vero sita est orthographia, quando consideramus, utrum per ζ scribendum sit σμιλίον et σμύρνα, an per σ (1) ». non deberent enim de hocce considerare, si in istis dictionibus prolatio σ prolationi ζ non esset similis. Iterum: « Quod vero patiens injuriarum sum litera, vos quoque testes mihi estis, qui nunquam ζ a me σμάραγδον abripiens, et totam σμύρναν abstrahens, accusaveram » (2). Ideo in antiquis urbis Smyrnæ nummis Σμυρνάιων per ζ scriptum videtur (3). Quod vero τ, dum post ν est, vitiose ut d profertur, in supradictis notatum est (§. 59.).

## De υ, et reliquis omnibus.

§. 64. Υ nec ut latina *u*, nec ut gallica *u*, quin potius ut ι pronunciatur; circa labia tamen notabili contractione facta, et angusto exilique sono excidente (§. 52. adnot. 1. et §. 60), ita ut gallicæ *u* prolationi paululum simile sit.

§. 65. Quod vero υ, et ι prolationis differentia et olim parvula ac insensibilis erat, illa, quibus per parechesin Poëtæ et Auctores usi sunt, testantur. Ut φίλησε φῦλον ἀοιδῶν; et φῦναι Φινέα; et Φυλέα φίλον μακάρεσσι θεοῖσιν (1); et ὠδίνων ὀδύναις; et ἔκειτο ἐν φύλλοις φίλον τετιημένος ἦτορ (2). Tale etiam illud erat, quod Scholasticis in coenam a Xantho invitatis Æsopus proponebat. Nam iste fortasse, τί σείει ὁ κύων? interrogabat; illi autem, ob prolationis certe similitudinem, hoc pro τίς σὺ εἶ ὦ κύων? intelligentes: velut affecti injuria discedebant. Videtur enim Maximus Planudes, cujus testimonium forsan non magni valoris contrariis apparebit, vitam Æsopi conscribens, non quæ sibi in animum subvenerant; sed quæ memoria a majoribus usque tunc conservata fuerunt, in unum collexerit.

(1) Sextus adversus Grammat. c. 9.

(2) Lucian. Judic. Vocal.

(3) Veteres σμικρὸν, et σμύρνα, et σμερδαλέον per ζ scribebant. C. Karajoan. T. I. p. 280.

(1) Eustath. Parecbol. Il. p. 94.

(2) Parecbol. Odys. p. 366.

§. ξς'. Ἐκ τούτων δ' ἀποδείκνυται ὅτι καὶ ἡ ει δίφθογγος, περὶ ἧς ἐν τοῖς ὕστερον λόγον ποιησόμεθα, καὶ πάλαι ὡς ι ἐξεφωνεῖτο. Μεγάλη γὰρ ἂν ἦν ἡ διαφορά, εἰ τὸ μὲν υ ὡς **u** γαλλικὸν, ἡ δὲ ει διῃρημένως προὐφέρετο· οὐδ' ἔδει τοὺς Ξάνθου δαιτημόνας, ὡς δῆθεν προπηλακιζομένους, ἐκποδὼν γίνεσθαι καὶ ταῦτα μὴ τῶν ἀγροίκων καὶ ἀμαθῶν, ἀλλὰ τῶν σοφῶν ὄντας, καὶ καλῶς τὴν προφορὰν τῆς σφῶν διαλέκτου γινώσκοντας· οὐδ' εἶχεν ἂν Αἴσωπος πρὸς τὸν δεσπότην ἀπολογούμενος λέγειν, ὡς οὐ, τίς σὺ εἶ ὦ κύων; ἀλλά, τίς εἰ εἰ ὁ κύων; ἠρώτα.

§. ξζ'. Καὶ ἡ βίβλος δὲ, ἐκ τῆς βύβλου, ὅ ἐστι παπύρου, ὀνομασθεῖσα, παρὰ μὲν Ἰωσήπου καὶ ἄλλων διὰ τοῦ υ, παρὰ δὲ τῶν πλειόνων διὰ τοῦ ι γράφεται· καὶ Βύβλος πόλις Φοινίκης, ἐκ τοῦ πάσης ἀρχαίας βύβλου, κατὰ τὸν τοῦ Ἐτυμολογικοῦ Συγγραφέα, φυλακὴν ἀσινέα ἐν ταύτῃ γενέσθαι, οὕτω κληθεῖσα· καὶ βύβλινος οἶνος, παρ' ἄλλων μὲν διὰ τοῦ υ, παρ' ἄλλων δὲ διὰ τοῦ ι γράφονται· καὶ μυρία ἄλλα (1).

§. ξη'. Καὶ ἐν ἄλλαις δὲ διαλέκτοις· οἷον ἐν τῇ λατινικῇ, γαλλικῇ, γερμανικῇ, κ.τ.λ. τὸ υ, ἑλληνικὸν **y** λεγόμενον, ὡς ἡμεῖς τὸ υ ἐκφέρομεν, ἐκφωνεῖται· οἷς μοι πρόσθες ὅτι καὶ ἐν τῇ λατινικῇ Ἐκκλησίᾳ τὸ κύριε ἐλέησον (§. μς'.) καθ' ἡμᾶς αὐτοὺς, ἀλλ' οὐχ ὡς εἰ ἦν κούριε, ἢ κιούριε, ἐκφωνεῖται.

§. ξθ'. Ὅτι δὲ μεγάλη ἦν ἡ τῆς ἐκφωνήσεως τοῦ λατινικοῦ **u**, καὶ τοῦ ἑλληνικοῦ υ διαφορὰ, μάρτυς ἐστὶ καὶ Κικέρων (1), τὸν Ποιητὴν Ἔννιον λέγων τὸ Πύρρος **Purrhus**, καὶ τὸ Φρύγες **Phruges** γράφειν, ἀντὶ τοῦ υ, **y** δηλαδὴ, τῷ λατινικῷ **u** χρώμενον· ὅπου γε οἱ ὕστερον ἐν ταῖς τοιαῖσδε λέξεσι τὸ **y** γράφοντες, διαφόρως τοῦτο τοῦ **u** προέφερον. Τούτου δ' ἀπόδειξίς εἰσι καὶ τὰ ἑξῆς κατὰ διάλεκτον, οἷον ἐλήλουθα, ἀντὶ ἐλήλυθα· καὶ θουγάτηρ, ἀντὶ θυγάτηρ, κ. τ. λ. (§. νβ'.) (2).

(1) Ὅρα περὶ τούτων καὶ Γ. Πλακ. ἐνθ. ἀν. σ. 129.

(1) Ἐν τῷ Ῥήτορι.

(2) Ὅτι δὲ ἡ τοῦ υ προφορὰ μικράν τινα ὁμοιότητα πρὸς τὴν τοῦ **u** γαλλικοῦ πάλαι εἶχε, κἀκ τούτου ἀποδείκνυται. Οἱ γὰρ τῆς Πελοποννήσου οἰκήτορες καὶ νῦν ἔτι ἐν πολλαῖς λέξεσι τὸ υ ὡς ου ἐκφωνοῦσιν. Οἷον ξοῦλα, ἀντὶ ξύλα. κ. τ. λ. Ἐν τισὶ δὲ λέξεσι σύμπαντες Ἕλληνες τὸ υ ὡς ου προφέρουσιν· οἷον στουπεῖα, ἀντὶ στυπεῖα. κ. τ. λ. Ἀμφότεροι δὲ τὴν

§. 66. Ex his vero demonstratur quod etiam ει diphthongus, de qua in sequentibus sermo erit, et olim ut ι pronunciabatur. Magna enim esset differentia, si υ ut u gallicum, ει vero divisim profereretur; nec deberent Xanthi convivæ tanquam injuria affecti discedere; cum præsertim non rustici ac ignari, sed eruditi essent, pronunciationemque suæ ipsorum linguæ bene calerent; neque valeret Æsopus pro sua defensione hero dicere, non, *τίς σύ εἶ ὦ κύων?* sed, *τί σείει ὁ κύων?* interrogasse.

§. 67. Βίβλος etiam, ex *βύβλος*, hoc est *πάπυρος*, nuncupata, a Josepho quidem, et aliis per υ, a plerisque vero per ι scribitur; et Βύβλος Phœniciæ urbs, ex eo quod *πάσης ἀρχαίας βύβλου*, juxta Etymologici Auctorem, custodia illæsa in ea fuerit, sic appellata; et *βύβλινος οἶνος* ab aliis per υ, ab aliis per ι scribuntur; et sexcenta alia (1).

§. 68. In aliis etiam linguis: ut in latina, gallica, germanica, etc. υ græcum y appellatum, ut nos υ pronunciamus, profertur; quibus addas quod etiam in latina Ecclesia *κύριε ἐλέησον* (§. 46.) secundum nos, ac non tanquam si *κούριε*, vel *κιούριε* esset, pronunciatur.

§. 69. Quod vero latinæ u, et græci υ prolationis differentia magna erat, Cicero etiam testatur (1), Poëtam Ennium dicens, Πύῤῥος *Purrhus*, et Φρύγες *Phruges*, pro υ, nempe y, latina u utentem scribere; cum posteriores in his dictionibus y scribentes, diverse hoc ab u pronunciarent. Horum autem demonstratio etiam sequentia sunt per Glossam usitata: nempe *ἐλήλουθα*, pro *ἐλήλυθα*; et *θουγάτηρ*, pro *θυγάτηρ*, etc. (§. 52) (2).

(1) Vide de his et G. Placent. l. c. p. 129.

(1) In Oratore.

(2) Quod literæ υ prolatio parvam quandam similitudinem cum prolatione u gallicæ olim habebat, vel ex hoc demonstratur. Incolæ enim Peloponnesi in multis dictionibus et nunc adhuc υ ut ου proferunt, v. g. ξοῦλα pro ξύλα, etc. In nonnullis vero dictionibus omnes Græci υ ut ου pronunciant. v. g. σπουργίτης, pro σπυργίτης, etc. Cum autem utrique reclam υ prolationem, in medio quasi ου eta.

§. ο'. Ἐπεὶ δ' Ἀριςοφάνης ὅλον ἰαμβικὸν ςίχον ἐκ τοῦ υ ἐποιήσατο (1), ὅτι συείων κρεῶν ὀσμῆς ἤσθετο, κατὰ τὸν Σχολιαςὴν, δεικνῦναι βουλόμενος· τινὲς τῶν ἐναντίων φασὶ μονονοὺ τὸ υ δεῖν ἡμᾶς προφέρειν, κεκλεισμένῳ τῷ ςόματι τὸ πνεῦμα εἰσπνέοντας (2)· ὅπερ ἀηδὲς, καὶ καταγέλαςον, καὶ ἀδύνατον.

§. οα'. Ἔσχατον δὲ τὰ τοῦ Ἀριςοφάνους ταῦτα·

» Τρεῖς μνᾶς διφρίσκου καὶ τροχοῖν Ἀμυνίᾳ (1)·

οἷς οἱ ἐναντίοι περὶ τοῦ υ χρῶνται, μᾶλλον καθ' ἑαυτῶν, ἢ καθ' ἡμῶν τὸν ἔλεγχον ἐπισπᾷ.» Ἐταῦθα γὰρ, ὡς φησὶν ὁ Σχολιαςὴς, τὸν Ἄρχοντα διασύρειν βουλόμενος Ἀριςοφάνης, τῇ ἐκείνου προσηγορίᾳ ἐχρήσατο· τότε γὰρ ἦρχεν Ἀμινίας Προνάπου υἱός. Ἐκεῖνον οὖν ἐπισκῶψαι θελήσας, παρέτρεψε τὸ ι εἰς υ, καὶ παρεγραμμάτισε γελοίως· ἐπεὶ παρὰ τοῖς Ἀθηναίοις ὁ νόμος φανερῶς ἐκώλυε τὸν ἄρχοντα κωμῳδεῖν· Ἀμυνίαν δ' αὐτὸν εἶπεν, ἀντὶ τοῦ Ἀμινίαν». Εἰ γὰρ τὸ υ μὴ τῷ ι ὁμοιόφωνον ἦν, πῶς τὸν Ἄρχοντα Ἀριςοφάνης διέσυρεν; τί ἦν τὸ ἐκ τοῦ παραγραμματισμοῦ ὄφελος, εἴπερ οἱ θεαταὶ, ὃ σκοπὸς τοῦ Κωμικοῦ ἦν, τούτου οὐκ ᾐσθάνοντο; μῶν ἡμῖν ἐκεῖνος ἐφύλαττε τὴν τοῦ σκώμματος αἴσθησιν; Ὁμοιόφωνα ἄρα καὶ πάλαι τὸ ι καὶ υ ἦσαν· τῷ δὲ παραγραμματισμῷ ὡς ςρατηγήματι Ἀριςοφάνης ἐχρήσατο, ἵνα καὶ τὸν Ἄρχοντα κωμῳδήσειε, καὶ ἐπὶ τούτῳ ἐγκαλεσθεὶς, ἔχοι πρὸς τοὺς κριτὰς δικαιολογηθῆναι, τὴν διάφορον γραφὴν ἐπιδείξας (§. μη'.).

§. οϐ'. Ἐνταῦθα δ' αὖθις ἐπαναλαμβάνοντες λέγομεν, ὅτι διαφορά τις ἦν πάλαι (§. νθ'.) παρὰ τοῖς καθαρῶς ἑλληνίζουσι τῆς τοῦ η, ι, καὶ υ ἐκφωνήσεως, δι' ἣν τὸ ἡμῶν καὶ ὑμῶν, κ. τ. λ. ἀκοῇ μόνῃ ἀπ' ἀλλήλων διέκρινον· ὅτι δ' αὕτη βραχυτάτη καὶ οὐκ αἰσθητὴ ἦν, ἐκ τῶν λεχθέντων αὐτάρκως δέδεικται· τὰ δὲ λοιπὰ τῶν γραμμάτων ἀναμφισβήτητα. Ἀλλὰ περὶ μὲν τῆς τῶν ςοιχείων ἐκφωνήσεως ἅλις.

ὀρθὴν τοῦ υ ἐκφώνησιν, ἐν μεταιχμίῳ πως τῆς τοῦ ου καὶ ι οὖσαν, διασῶσαι μὴ δυνηθέντες, οἱ μὲν τῇ ου, οἱ δὲ τῷ ι προσεπέλασαν. Εἰ μή τις εἴποι ὡς ταῦτα κατὰ διάλεκτον οὕτω γέγονεν· οἷα καὶ τὸ ἐλήλουθα καὶ θουγάτηρ ἐςί.

(1) Ἐν Πλούτ. ςίχ. 896. Ἰδὲ καὶ ἐν Ἱππεῦσ. ἄλλον ςίχον ἐκ μόνου τοῦ μ καὶ υ συγκείμενον.

(2) Κερατ. ἐν Συλ. σ. 371. Ἐυρ. Στέφ. αὐτ. σ. 410.

(1) Ἐν Νεφέλ. ςίχ. 31.

§. 70. Quoniam autem Aristophanes totum jambicum versum ex υ fecerat (1), suilum carnium odorem sentisse, ut Scholiasta dicit, demonstrare volens: nonnulli ex adversariis modo non asserunt nos debere υ pronunciare, ore clauso spiritum inhalantes (2); quod et injucundum, et ridiculum, et impossibile est.

§. 71. Hæcce demum Aristophanis:

» Τρεῖς μνᾶς διφρίσκου καὶ τροχοῦν Ἀμυνίᾳ (1),

quibus de υ utuntur contrarii, magis ad se ipsos, quam ad nos, redargutionem attrahunt. » Hic enim, ut Scholiasta dicit, Aristophanes Prætorem conviciare volens, illius nomine usus est; tunc enim Aminias Pronapi filius imperabat. Hunc igitur irridere cupiens, permutavit ι in υ, literasque ridicule perturbavit; quia apud Athenienses lex erat, quæ Prætorem nominatim in comœdia objurgare vetabat. Dixit autem illum Ἀμυνίαν pro Ἀμινίαν. » Nam si υ non consonum ι esset, quomodo Prætorem Aristophanes irrisit? aut quid lucri a paragrammatismo esset, si hunc spectatores, quem ad scopum Comicus tendebat, non sentirent? an nobis ille irrisionis sensum conservaret? Consona igitur et olim υ, et ι erant; paragrammastismo vero velut stratagemate Aristophanes usus est, ut et Prætorem irrideret; et si forte ob hoc accusaturus esset, coram judicibus se defendere posset, diversa scriptione exposita (§. 48).

§. 72. Hic vero iterum repetendo dicimus, fuisse olim (§. 59) apud pure græcum sermonem loquentes differentiam quandam η, ι, et υ prolationis, ob quam ἡμῶν et ὑμῶν, etc. solo auditu ab invicem distinguebant; quod vero hæc minima et non sensibilis erat, ex supradictis satis demonstratum est; reliquæ autem literæ citra controversiam sunt. Ast de literarum quidem prolatione satis.

prolationis versantem, conservare non potuerint: primi quidem ad ω, posteriores vero ad ι accesserunt. Nisi quidam dixerit quod hæc juxta dialectum sic formata sint; qualia etiam ἐλήλυθα et θυγάτηρ sunt.

(1) In Plut. vers. 896. Vide etiam in Equit. alium versum ex solo μ et υ constantem.

(2) Cerat. in Syllog. p. 371. H. Steph. ib. p. 410.

(1) In Nub. vers. 31.

## ΚΕΦΑΛΑΙΟΝ Γ'.

### ΠΕΡΙ ΤΗΣ ΤΩΝ ΔΙΦΘΟΓΓΩΝ ΕΚΦΩΝΗΣΕΩΣ ΕΝ ΓΕΝΕΙ.

§. ογ'. Λείπεται δὲ καὶ περὶ τῶν διφθόγγων νῦν ἐπελθεῖν, καὶ πίστεις ἀρχαίων περὶ τῆς ἀδιαιρέτου ἐκφωνήσεως τούτων ἐπαγαγεῖν. Ἣν γὰρ διαφορὰν ἔχει, ὡς οὕτω φάναι, τὸ ἓν πρὸς τὰ δύο, ἢ τὰ δύο πρὸς τὰ τέτταρα, τὴν αὐτὴν καὶ ἡ ἡμετέρα τῶν διφθόγγων προφορὰ πρὸς τὴν τῶν ἀλλογενῶν· ἡμῶν μὲν ἐν συναιρέσει, ἐκείνων δ' ἐν διαιρέσει ταύτας ἐκφωνεῖν ἀξιούντων. Ἐνταῦθα δὲ καὶ θαυμάζειν τῶν ἐναντίων, ἐφ' οἷς ποιοῦσιν, ἐπέρχεταί μοι. Τὰ γὰρ ἑλληνικὰ στοιχεῖα ὀρθῶς αὐτοὺς προφέρειν ἀποδεῖξαι σπουδάζοντες, ἐκ πασῶν μονονουχὶ τῶν φωνῶν παραδείγμασι χρῶνται· ἐν δὲ ταῖς διφθόγγοις οὐδένα τουτουῒ λόγον ἔχουσι· καὶ τὰς μὲν τῶν ἄλλων διαλέκτων διφθόγγους, καὶ τριφθόγγους μὰ Δία γε! ἀδιαιρέτως προφέρουσι· καὶ ἤν μοι ὀλίγους τινὰς, τὴν ἐν διαιρέσει τῶν λατινικῶν διφθόγγων ἐκφώνησιν εἰσενεγκεῖν πειραθέντας, ἐξέλης, οὐδείς ποτε τοῦτο ἐν ἄλλῃ διαλέκτῳ ἐστὶν ὑπειληφώς. μόνας δὲ τὰς ἑλληνικὰς διηρημένως ἐκφωνητέας εἶναι διϊσχυρίζονται, τοιοῖσδε τοῦτο λόγοις ἐμπεδοῦν οἰόμενοι.

§. οδ'. Φασὶν οὖν οἱ ἐναντίοι διὰ τοῦτο τὴν αι μὴ ὡς ε, τὴν δὲ ει, οι, καὶ υι, οὐ μὴν ἀλλὰ καὶ τὸ η, καὶ υ, μὴ ὡς ι προφέρειν, ἵνα τὴν ταυτοφωνίαν φύγωσιν· ὡς διὰ μὲν τὸ πρῶτον πολυεψίλου τοῦ λόγου ἀποβαίνοντος, διὰ δὲ τὸ δεύτερον ἰωτακισμοῦ διηνεκοῦς ἐξακουομένου. Περὶ μὲν οὖν τοῦ πρώτου φαμὲν, ὅτι οὐ πάνυ ἀηδὲς τοῦτο τοῖς ἀρχαίοις ἦν Ἕλλησιν· ὡς ἐν τοῖς ἑξῆς στίχοις, ἐξ Ὁμήρου, καὶ Ἡσιόδου, καὶ ἄλλων Ποιητῶν ληφθεῖσι, δεδείξεται.

» Χεῖρ' ἕλε δεξιτερὴν, καὶ ἐδέξατο χάλκεον ἔγχος.
» Τοῦ μὲν ἔκ φασι γενέσθαι, ἐπεὶ σύ γε τοῦτ' ἐρεείνεις.
» Δῶκεν, ἐπεί ῥα θεοὺς νεμεσίζετο αἰὲν ἐόντας.
» Ἀλλ' ἐθέλω σε φέριστε περὶ ξείνοιο ἐρέσθαι.
» Ὡς τὸ μὲν ἐξετέλεσσε καὶ οὐκ ἐθέλουσ' ὑπ' ἀνάγκης.
» Ἐρχόμεθ', ὡς ἐπιεικὲς ὀπυιέμεν ἐστιν ἑκάστῳ.

## CAPUT. III.

### DE PRONUNCIATIONE DIPHTHONGORUM IN GENERE.

§. 73. SUPEREST vero de diphthongis nunc disserere, veterumque testimonia de contracta earundem pronunciatione afferre. Quam enim differentiam, ut ita dicam, unum ad duo, vel duo ad quatuor habent: eadem etiam noster diphthongos proferendi modus, ad alienigenarum prolationem gaudet: nobis quidem contracte, illis autem divisim easdem pronunciare contendentibus. Hic vero improbari, quod adversarii faciunt, in animum mihi subit. Nam quod illi recte literas græcas pronuncient demonstrare conantes, ex omnibus mòdo non linguis exemplis utuntur; in diphthongis autem nullam de hoc rationem habent; et aliarum quidem linguarum diphthongos et triphthongos profecto indivisim proferunt; ac si paucos, quibus latinarum diphthongorum divisam prolationem introducere cordi fuit, excipias, nemo hocce de alia lingua putaverat; solas vero græcas diphthongos divisim proferendas esse contendunt, talibus rationibus hoc confirmare existimantes.

§. 74. Dicunt igitur adversarii hanc ob causam αι non ut ε, ει vero, οι, et υι, sicut etiam η, et υ non ut ι pronunciare, ut ταυτοφωνίαν evitent; quoniam ob primum quidem πολυέψιλος sermo evadit; ob posterius vero continuus ἰωτακισμὸς auditur. De primo igitur dicimus, quod hoc non valde injucundum veteribus Græcis esset; ut idem in sequentibus versibus ex Homero, et Hesiodo, et aliis Poëtis depromtis videre licet,

» Χεῖρ' ἕλε δεξιτερὴν, καὶ ἐδέξατο χάλκεον ἔγχος.
» Τοῦ μὲν ἔκ φασι γενέσθαι, ἐπεί σύ γε τοῦτ' ἐρεείνεις.
» Δῶκεν, ἐπεί ῥα θεοὺς νεμεσίζετο αἰὲν ἐόντας.
» Ἀλλ' ἐθέλω σε φέριςε περὶ ξείνοιο ἐρέσθαι.
» Ὡς τὸ μὲν ἐξετέλεσσε καὶ οὐκ ἐθέλουσ' ὑπ' ἀνάγκης.
» Ἐρχόμεθ', ὡς ἐπιεικὲς ὀπυιέμεν ἐςιν ἑκάςῳ.

Digitized by Google

» Ἐν ϛήθεσσι κακὸν μελέτω ἔργοντε ἔπος τε.
» Οὐ σε θεῶν ἀέκητι γενέσθαι τε τετραφέμεν τε.
» Ἤ ἔπος, ἠέ τι ἔργον ὑποϛὰς ἐξετέλεσσεν.
» Ἐς Τένεδον δ' ἐλθόντες ἐξερέξαμεν ἱρὰ θεοῖσιν.
» Οἱ δ' ἐπεὶ οὖν ἤγερθεν ὁμηγερέες τ' ἐγένοντο.
» Θήσειν γὰρ ἔτ' ἔμελλεν ἐπ' ἄλγεά τε ϛοναχάς τε.
» Ἓξ μεν θυγατέρες, ἓξ δ' υἱέες ἡβώοντες.
» Εἶδεί τε μεγέθει τε, νόον γε μὲν οὔ τις ἔριζε.
» Ταρφέες, ἀμφὶ δὲ γαῖα φερέσβιος ἐσμαράγησεν.
» Ἔζεε δὲ χθὼν πᾶσα, καὶ ὠκεανοῖο ῥέεθρα.
» Πέντε πόκως ἔλαβε χθὲς, ἅπαν ῥύπος, ἔργον ἐπ' ἔργῳ.
» Ὦ Τριπτόλεμε καὶ Κελεὲ περιόψεσθέ με.

ἐν οἷς καὶ ἑπτάκις, καὶ ὀκτάκις, καὶ ἐννεάκις, καὶ δεκάκις τὸ ε ἐπαναλαμβάνεται· οὐδενί τε ἄλλῳ ϛοιχείῳ οὕτω κατακόρως ὁ Ποιητὴς, ὡς τῷ ε, χρῆται. καὶ μὰ Δία γε! ἔϛι καὶ ὅλους στίχους ὀλοεψίλους ἰδεῖν· οἷος καὶ ὁ τοῦ Ναζιανζηνοῦ Γρηγορίου ὅδε·

» Ελεε Θεὲ, νέμε χέρε φέρε με.

Καὶ Ἀθηναῖοι δὲ τοῖς παρῳχημένοις χρόνοις πολλῶν ῥημάτων ε προϛιθέντες, ἑώρων, καὶ ἔωσμαι, ἀντὶ τοῦ ὥρων, καὶ ὦσμαι, ἔλεγον. κ. τ. λ. Ταὐτὰ δ' αὐτὰ ἔχομεν καὶ περὶ τοῦ δευτέρου εἰπεῖν· ὡς ἐκ τῶν ἑξῆς ϛίχων ἱκανῶς ἀποδείκνυται.

» Ὃς περὶ μὲν νόον ἐϛὶ, περὶ δ' ἱερὰ θεοῖσιν.
» Αἴτιοι, ἀλλὰ ποτὶ Ζεὺς αἴτιος, ὅς τε δίδωσιν.
» Εἷατ', ἐπεὶ σφίσιν ὕπνος ἐπὶ βλεφάροισιν ἔπιπτεν.
» Ἶζον, τοὶ δ' ἐπὶ θινὶ θαλάσσης ἱερὰ ῥέζον.
» Οἱ δ' ἰθὺς κατάγοντο, ἰδ' ἱϛία νηὸς εἴσης.
» Νῶϊ δ' ἐνὶ κλισίῃ πίνοντέ τε δαινυμένω τε.
» Ἶσα φίλοισι τέκεσσι, χαριζομένη πόσεϊ ᾧ.
» Ἀσπίδι γινώσκων αὐλώπιδί τε τρυφαλείῃ.
» Νύσσοντες ξίφεσσί τε καὶ ἔγχεσιν ἀμφιγύησι.
» Βᾶσκ' ἴθι Ἶρι ταχεῖα Ποσειδάωνι ἄνακτι.
» Οἵτινες ἀντιβίην πόλεμον Διὸς υἷϊ φέροιεν.
» Ἠμάτιαι σπεύδουσι, τιθεῖσί τε κηρία λευκά.
» Ἰασίῳ ἥρωϊ μιγεῖσ' ἐρατῇ φιλότητι.
» Πᾶσι δίκαια νέμειν, μηδὲ κρίσιν ἐς χάριν ἕλκειν.

» Ἐν ϛήθεσσι κακὸν μελέτω ἔργον. τε ἔπος τε.
» Οὔ σε θεῶν ἀέκητι γενέσθαι τε τραφέμεν τε.
» Ἤ ἔπος, ἠέ τι ἔργον ὑποστὰς ἐξετέλεσσεν.
» Ἐς Τένεδον δ᾽ ἐλθόντες ἐξερέξαμεν ἱρὰ θεοῖσιν.
» Οἱ δ᾽ ἐπεὶ οὖν ἤγερθεν ὁμηγερέες τ᾽ ἐγένοντο.
» Θήσειν γὰρ ἔτ᾽ ἔμελλεν ἐπ᾽ ἄλγεά τε ϛοναχάς τε.
» Ἓξ μεν θυγατέρες, ἓξ δ᾽ υἱέες ἡβόωντες.
» Εἴδεϊ τε μεγέθει τε, νόον γε μὲν ὄυ τις ἔριζε.
» Ταρφέες, ἀμφὶ δὲ γαῖα φερέσβιος ἐσμαράγησεν.
» Ἔζεε δὲ χθὼν πᾶσα, καὶ ὠκεανοῖο ῥέεθρα.
» Πέντε πόκως ἔλαβε χθὲς, ἅπαν ῥύπος, ἔργον ἐπ᾽ ἔργῳ.
» Ὦ Τριπτόλεμε καὶ Κελεὲ περιόψεσθέ με.

in quibus et septies, et octies, et novies, et decies ε repetitur; nullaque alia litera frequentius, quam ε, Homerus utitur. Et profecto licet totos etiam versus ὁλοεψίλους videre; qualis et sequens Gregorii Nazianzeni est:

» Ἔλεε Θεὲ νέμε χέρε φέρε με.

Athenienses etiam, multorum verborum temporibus præteritis ε addito, ἑώρων, et ἔωσμαι, pro ὥρων et ὧσμαι dicebant, etc. Eadem de posteriori quoque asserere valemus; quod ex sequentibus versibus satis demonstratur.

» Ὃς περὶ μὲν νόον ἐϛὶ, περὶ δ᾽ ἱερὰ θεοῖσιν.
» Αἴτιοι, ἀλλὰ ποτὶ Ζεὺς αἴτιος, ὅς τε δίδωσιν.
» Εἶατ᾽, ἐπεὶ σφίσιν ὕπνος ἐπὶ βλεφάροισιν ἔπιπτεν.
» Ἶζον, τοὶ δ᾽ ἐπὶ θινὶ θαλάσσης ἱερὰ ῥέζον.
» Οἱ δ᾽ ἰθὺς κατάγοντο, ἰδ᾽ ἱϛία νηὸς ἐΐσης.
» Νῶϊ δ᾽ ἐνὶ κλισίῃ πίνοντέ τε δαινυμένω τε.
» Ἶσα φίλοισι τέκεσσι, χαριζομένη πόσεϊ ᾧ.
» Ἀσπίδι γινώσκων αὐλώπιδί τε τρυφαλείῃ.
» Νύσσοντες ξίφεσσί τε καὶ ἔγχεσιν ἀμφιγύοισι.
» Βάσκ᾽ ἴθι Ἶρι ταχεῖα Ποσειδάωνι ἄνακτι.
» Οἵτινες ἀντιβίην πόλεμον Διὸς υἷϊ φέροιεν.
» Ἠμάτιαι σπεύδουσι, τιθεῖσί τε κηρία λευκά.
» Ἰασίῳ ἥρωϊ μιγεῖσ᾽ ἐρατῇ φιλότητι.
» Πᾶσι δίκαια νέμειν, μηδὲ κρίσιν ἐς χάριν ἕλκειν.

O

» Ἀθρόον ἐμπίπτουσιν ἐπὶ ῥηγμῖνι θαλάσσης.

» Φαντὶ, πρὶν ἀκράτιςον ἐπὶ ξηροῖσι καθίξοι.

» Ὧδ' ἴθι κισσαίθα, τὺ δ' ἄμελγε νὶν, αἱ δὲ χίμαιραι.

» Αὖλις δὲ σφίσιν ἦδε τεῆς ἐπιδέξια χειρός.

ἐν οἷς καὶ πεντάκις, καὶ ἑξάκις τὸ ι ἐπαναλαμβάνεται.

§. οε'. Πρὸς τούτοις εἴ γε τοῖς ἀρχαίοις ἀηδὴς ἦν ἡ τοῦ ε ἐπανάληψις, διατί πολλάκις τὸ η εἰς δύο ε διαλύοντες, δάκτυλον ἐποίουν; ὅπου γε καὶ ὁ σπονδεῖος οὐδὲν ἂν τῷ μέτρῳ ἐλυμήνατο; διατί δὲ τῷ ε πολλάκις κατὰ πλεονασμὸν ἐχρῶντο; ὡς ἐν τῷ ἔεδνα, ἐείατο, ἐείκοσι, ἐείσομαι, ἐεικὸς, καὶ μυρίοις ἄλλοις (§. οδ'.); Αὖθις εἴπερ ὁ ἰωτακισμὸς ἁπλῶς ἦν κακόφωνος, ἵνα τί οἱ ἀρχαῖοι τοῦτον ἐνίοτε ἐπετήδευον; Διατί γὰρ ἀντὶ τοῦ τιθέω ῶ, τῷ τίθημι· ἀντὶ τοῦ ἱςάω ῶ, τῷ ἵςημι· ἀντὶ τοῦ διδόω ῶ, τῷ δίδωμι, καὶ ἀντὶ τοῦ ζευγνύω, τῷ ζεύγνυμι ἐχρῶντο; διατί δ' οἱ Ποιηταὶ πάσαις ταῖς εἰς αἰς καὶ οις δοτικαῖς τὸ ι προσετίθουν; ἆρ' οὐκ εἶχον ἄλλως τὸ μέτρον φυλάξαι; ἢ τὸ ι μόνον ἡ ἱερὰ ἦν ἄγκυρα, εἰς ὃ σὺν βλάβῃ καὶ λύμῃ τῆς τῶν ἐπῶν εὐφωνίας κατέφευγον; οὐκ ἠδύναντο καὶ τὴν τούτου φυγεῖν κατάχρησιν; ὡς καὶ ἐν τῷ σ ἔσθ' ὅτε διὰ τὸ κακόφωνον ἐποίουν, ᾠδὰς ὅλας ἀσίγμους συντιθέντες (§. λβ'. σημ. 1.); Διατί δ' ἔσχατον Ἀθηναῖοι ἐν πάσαις μονονοὺ ταῖς τῶν δεικτικῶν ἀντωνυμιῶν πτώσεσιν, ἢ τὸ ι τῇ ληγούσῃ προσετίθουν, ἢ ταύτην εἰς ι μετέβαλλον, οὑτοσί, ἐκεινοσί, τουτί, τουτουί, ταυτησί, κ. τ. λ. λέγοντες;

§. ος'. Ἀλλ' ἐνταῦθα Ἑρμογένους μνησθῆναι ἄξιον, οὕτω λέγοντος· » Εἰ καθ' ἑαυτὸ τὸ ι τιθοῖτο, ἥκιςα σεμνὴν ποιεῖ τὴν λέξιν, πλεονάσαν μᾶλλον, καὶ σεσηρέναι ποιεῖ, διογκοῖ δὲ οὐδαμῶς τὸ ςόμα » (1). Περὶ οὗ λέγομεν, ὡς ἐν πάσῃ τέχνῃ καὶ ἐπιςήμῃ οἱ κανόνες οὐκ ἐς τὸ ἀκριβὲς ἀεὶ τοῖς πράγμασι σύμφωνοι· οἱ μὲν γὰρ εἰσὶ κατ' ἐπίνοιαν, τὰ δὲ ἔργῳ γίνεται. Καὶ αὖθις, εἰ τὸ ι ἥκιςα σεμνὴν τὴν λέξιν ποιεῖ· οὐ διὰ τοῦτο καὶ ἄσεμνον αὐτὸ, ἵν' οὕτως εἴπω, καὶ ἀποβλητέον γε εἶναι δόξει· οὐδὲ γὰρ ἂν κατεχρῶντο οἱ παλαιοὶ αὐτῷ, ἁπλῶς τοιούτῳ γε ὄντι (§. οδ'.). Τὸ εὔρυθμον οὖν καὶ εὐμελὲς τοῦ λόγου ἐν τῇ τῶν σεμνοτέρων, καὶ μὴ, ἤχων συμμίξει κεῖται, καὶ τῇ φύσει τυγχάνει ὂν

(1) Περὶ Σεμνότητος.

» Ἀθρόον ἐμπίπτουσιν ἐπὶ ῥηγμῖνι θαλάσσης.
» Φαντί, πρὶν ἀκράτιςον ἐπὶ ξηροῖσι καθίξοι.
» Ὧδ' ἴθι κισσαίθα, τὺ δ' ἄμελγε νὶν, αἱ δὲ χίμαιραι.
» Αὖλις δὲ σφίσιν ἦδε τεῆς ἐπιδέξια χειρός.

in quibus et quinquies, et sexies ι repetitum est.

§. 75. Præterea si veteribus ε repetitio ingrata esset: quare multoties, η in duo ε dissoluto, dactylum faciebant? cum et spondeus nihil versui nocuisset? quare etiam ε per pleonasmum multoties utebantur? ut in ἔεδνα, ἐείατο, ἐείκοσιν, ἐείσομαι, ἐεικὸς, et sexcentis aliis (§. 74.)? Iterum si ἰωτακισμὸς absolute absonus esset: quare veteres eodem aliquando ex industria utebantur? Quam enim ob causam pro τιθέω ῶ, τίθημι, pro ἱστάω ῶ, ἵστημι, pro διδόω ῶ, δίδωμι, et pro ζευγνύω, ζεύγνυμι in usum trahebant? quare vero Poëtæ omnibus in αις et οις desinentibus dativis ι addebant? an non valerent aliter metrum conservare? an ι solummodo sacra anchora esset, ad quod cum noxa ac detrimento euphoniæ versuum confugiebant? an hujus nimium usum evitare pares non essent? sicuti hoc aliquoties in σ, propter ingratum ejus sonum, faciebant, integras odas sine σ componentes (§. 32. adnot. 1)? Quare demum Athenienses in omnibus propemodum pronominum demonstrativorum casibus, aut ι ultimæ syllabæ addentes; aut eandem in ι permutantes, οὑτοσὶ, ἐκεινοσὶ, τουτὶ, τουτουὶ, αὑτηὶ, ταυτησὶ, etc. dicebant?

§. 76. Ast hic loci memoratu dignus est Hermogenes ita dicens. » Si ι per se ponatur, minime gravem efficit orationem; magis enim contrahit, et coire facit illam; minime antem dilatat et inflat os (1).» De quo dicimus quod in singulis artibus scientiisve regulæ non semper exactissime consentaneæ rebus sint; siquidem regulæ sunt ideales, illæ autem re ipsa fiunt. Iterum, si ι minime gravem sermonem faciat: non ideo ἄσεμνον, ut ita dicam, ac rejiciendum esse apparebit; nam nec usi fuissent illo ita frequenter veteres, si absolute tale fuisset (§. 74.). Concinnitas igitur elegantiaque orationis in gravium et contrariorum sonorum commixtione sita est, naturaque ipsa concordat. »

(1) De Gravitate.

σύμφωνον.» Τότε γάρ, ὡς Διονύσιος Λογγῖνος φησὶν, ἡ τέχνη τέλειος, ἡνίκ' ἂν φύσις εἶναι δοκῇ· ἡ δ' αὖ φύσις ἐπιτυχὴς, ὅταν λανθάνουσαν περιέχῃ τὴν τέχνην...Ἐπεί τοι τὸ πανταχοῦ κώδωνας ἐξῆφθαι, λίαν σοφιστικόν» (2).

§. οζ'. Προσέτι οἱ ἐναντίοι φασὶν ἀσαφῆ καὶ ἀμφίβολον ἀποβαίνειν τὸν λόγον, τῆς μὲν αι ὡς ε, τῆς δὲ ει, οι, υι, καὶ τοῦ η, καὶ υ ὡς ι προφερομένων. Πρὸς τοῦτο ὑπαντῶντες φαμὲν, ὡς τὴν ἐκ τῆς ὁμοίας στοιχείων τινῶν προφορᾶς ἀσάφειαν οὐχ οἷόν τε ἐν οὐδεμιᾷ διαλέκτῳ φυγεῖν. Αὕτη δ' οὐχ ἧττον τῶν ἄλλων τὴν Ἑλληνίδα ἐπιπολάζει. Πολλὰ γὰρ ἐστὶν ἐν ταύτῃ τὴν σημασίαν ἀνόμοια, καίπερ ἀλλήλων μήτε τοῖς στοιχείοις, μήτε τοῖς τόνοις, μήτε τοῖς πνεύμασι διαφέροντα· οἷον τὸ τύπτουσι καὶ ποιοῦσι τρίτα πληθυντικὰ τῆς ὁριστικῆς πρόσωπα, καὶ πληθυντικαὶ δοτικαὶ μετοχῆς εἰσί· καὶ τὸ νικῶ πρῶτον πρόσωπον ὁριστικῆς ἐνεργητικῆς, καὶ δεύτερον προστακτικῆς παθητικῆς· καὶ τὸ τυπτόντων γενικὴ πληθυντικὴ μετοχῆς, καὶ τρίτον προστακτικῆς πρόσωπον ἔθει ἀττικῷ. κ. τ. λ. καὶ τὸ ἴα, καθ' Ἡσύχιον, σημαίνει μίαν, καὶ μόνην, καὶ ταύτην, καὶ φωνὴν, καὶ βοὴν, καὶ τὰ ἄνθη τὰ πορφυροειδῆ, ἢ βέλη. Ἀλλ' αὕτη ἡ ἀσάφεια ἐν μὲν τοῖς ὁμοιογραφουμένοις διὰ τῶν ἡγουμένων καὶ ἑπομένων, ἐν δὲ τοῖς ἄλλοις καὶ διὰ τῆς διαφόρου γραφῆς ἐκποδὼν γίνεται.

§. οη'. Τὴν δὲ τοῦ λόγου ἀμφιβολίαν οἱ ἐναντίοι διὰ τῆς καινοφανοῦς τῶν μικρῷ πρόσθεν λεχθέντων ἐκφωνήσεως φυγεῖν σπεύδοντες (§. οδ'.), λανθάνουσιν ἑαυτοὺς εἰς αὐτὸ τοῦτο πολλάκις ἐμπίπτοντες. Πῶς γὰρ οἷόν τε ἐν τῇ τοῦ λόγου ῥύμῃ τὸ λῆξις τοῦ λέξις, ἢ τὸ ἤθη τοῦ ἔθη, ἢ τὸ ἤδη τοῦ ἔδη· μάλιστα δὲ τὸ αὐλὸς τοῦ αὖλος, καὶ τὸ οἰστὸς τοῦ οἶστος διακρῖναι, ἣν ἐν ἑκατέροις ἡ αυ, καὶ οι διῃρημένως προφέρωνται (1); Ὁ γὰρ ἐκεῖνοι φασὶν, ὡς τὰς διφθόγγους δεῖ μὲν διῃρημένως ἐκφωνεῖν, ἐν μιᾷ μέντοι γε πνοῇ καὶ ταχέως, ὥστε μίαν ἀκούεσθαι συλλαβὴν, τοῦ-

(2) Περὶ ὕψους Τμημ. κ'. καὶ κά.

(1) Δοκεῖ ἔμοι γε ὡς ἀδιαιρέτως τὰς διφθόγγους, καὶ οἱονεὶ μονοφθόγγως οἱ πάλαι προέφερον· πολλὰ γὰρ τὰ ἄτοπα ἐν τοῦ διῃρημένως ταύτας προφέρειν ἀνάγκη συμβαίνειν. Κ. Καραϊωάν. Τ. Α. σελ. 110.

Tunc enim, ut Dionysius Longinus asserit, perfecta est ars, quum naturam ita exprimat, ut natura ipsa esse videatur; rursum natura est successu felix, quum latentem in se contineat artem... Siquidem ubique adhibere et appendere tintinabula, nimis est sophisticum (2).

§. 77. Porro contrarii dicunt quod obscurus ambiguusque sermo evadat, αι ut ε; ει, οι, υι, η, et υ vero ut ι pronunciatis. Ad quod occurrentes dicimus, quod obscuritatem a simili quarundam literarum prolatione provenientem, in nulla lingua evitare possimus. Huic vero obscuritati non minus quam aliæ dialecti græca lingua abundat. Multa enim in hacce sunt, significatione ab invicem differentia; quamvis quoad literas, et accentus, et spiritus, sibi similia sint : ut τύπτουσι et ποιοῦσι, tertiæ plurales modi indicativi personæ, et dativi plurales participii sunt; et νικῶ prima persona indicativi activi, et secunda imperativi passivi; et τυπτόντων genitivus pluralis participii, et tertiæ imperativi persona more Atheniensium, etc. et ἴα, teste Hesychio, significat unam, ac solam, ac hanc, ac vocem, ac clamorem, ac flores purpureos, aut tela. Attamen hæc obscuritas in illis, quæ similiter scribuntur, ope præcedentium ac sequentium; in aliis vero ope diversæ scriptionis amovetur.

§. 78. Dum autem adversarii sermonis ambiguitatem per novam supradictorum (§. 74.) prolationem effugere conantur: inscii in idem multoties illabuntur. Quomodo enim fieri possit ut in impetu sermonis λῆξις a λέξις, aut ἤθη ab ἔθη, aut ἤδη ab ἔδη distinguatur; ac præsertim αὐλὸς ab ἄυλος, et οἰστὸς ab ὀϊστὸς, si in utraque dictione divisim αυ et οι proferantur (1)? Quæ enim illi dicunt, quod nempe diphthongos divisim quidem pronunciari oporteat, in uno autem halitu ac cito, ita ut una

(2) De Sublim. Sect. 20, et 21.

(1) Videtur mihi quod veteres indivise et quasi μονοφθόγγως diphthongos pronunciarent; multa enim absurda ex divisa earundem prolatione accidere necesse est. C. Karajoann. T. I. p. 110.

το λόγοι μένον εἰσὶ, μηδεμίαν ὑπόςασιν ἔχροντες. Πολλῶν γὰρ πολλάκις ἀλλογενῶν ἀναγινωσκόντων ἀκούσας, οὐδεμίαν διαφορὰν ἐν τῇ ἀδιαιρέτῳ καὶ διῃρημένῃ προφορᾷ τῶν διφθόγγων ποιοῦντας αὐτοὺς παρετήρησα.

§. οθ'. Προσέτι οἱ ἐναντίοι φασὶν, ἀηδῆ καθάπαξ, καὶ ἄνισχυν, καὶ γυναικώδη τὸν λόγον ἀποβαίνειν, καθ' ἡμᾶς τῶν εἰρημένων διθόγγων καὶ ςοιχείων (§. οδ'.) ἐκφωνουμένων. Ὁ οὖν Μεκέρχος, ὁ μάλιςα τῇ προφορᾷ ἡμῶν πολεμήσας, οὐδ' ἀνασχέσθαι ταύτης δύναται· οἷον ἐν τοῖς ἑξῆς τοῦ Ὁμήρου ςίχοις κατὰ τὴν ἡμετέραν ἀναγινωσκομένοις ἐκφώνησιν.

» Αὐτὰρ ἐπεὶ κατέδυ λαμπρὸν φάος ἠελίοιο,
» Οἱ μὲν κακκείοντες ἔβαν οἶκόνδε ἕκαςος·
» Ἧχι ἑκάςῳ δῶμα περικλυτὸς ἀμφιγυήεις
» Ἥφαιςος ποίησ' εἰδυίῃσι πραπίδεσσιν.

Ἠδεῖαν δὲ, καὶ μεγαλοπρεπῆ, καὶ εὔηχον, ἥ, ὡς αὐτὸς ὑπείληφεν, οἱ ἀρχαῖοι Ἕλληνες ἐχρῶντο, ἀποκαλεῖ, οὕτως ὦ Ζεῦ καὶ Θεοί! ἔχουσαν.

» Αϊουτὰρ ἐπέϊ κατέδιου λαμπρὸν φάος ἐεελίοϊο·
» Χοϊ μὲν κακκέϊοντες ἔβαν ὄϊκονδε χέεκαςος,
» Χέεχι χεκάςοο δόομα περικλιουτὸς ἀμφιγιουέεεϊς
» Χέεφαϊςος ποϊέεσ' ἰδϊουϊεεσι πραπίδεσσιν (1).

Ἆρ' οὐκ ἐνταῦθα μετὰ τοῦ κωμικοῦ Σκύθου ἐπιφθέγξασθαι ἁρμόττει;

» . . . . . . . . . . . . . . . . παπαπαπαῖ!
» Ὡς γλυκερὸ τὸ γλῶσσ' ὥσπερ ἀττικὸς μέλις (2)·

Ἀλλ' εἰ ταῦτα οὕτως ἐκφωνούμενα, χ ε ε δ έ α, κατὰ Μεκέρχον εἰπεῖν, αὐτῷ ὑπάρχωσιν· εὖ μέντοι οἱ αὐτῷ ὁμόφρονες γινωσκόντων, ὡς αὐτὰ τοῖς ἡμῶν ὠσὶν ἀηδέςατα, καὶ σκυθικῆς χιόνος ψυχρότερα, καὶ πᾶν εἴ τι ἄλλο μᾶλλον, ἢ ἑλληνικὰ ὄντα φαίνεται (3).

§. π' Οὐ μὴν ἀλλὰ καὶ τὸ εὔφωνον καὶ εὔηχον τοῦ λόγου οὐκ ἔςιν ἁπάσαις διαλέκτοις γενικόν τε καὶ τὸ αὐτό· τὸ γὰρ ἐν τῇδε εὔφωνον ὂν, κακόφωνον ἐν ἄλλῃ φωρᾶται καὶ δύσηχον. Οἷον ἐν τῇ

(1) Ἐνθ. ἀν. σ. 167.
(2) Ἐν Θεσμοφορ. ςίχ. 1203. καὶ 1204.
(3) Ὅρα καὶ Γρηγ. Πλακεντῖνον ἔνθ. ἀν. σ. 141. καὶ Ἐρ. Σμίδιον ἔνθ. ἀν. σ. 650. ἀηδίαν τῆς καινοφανοῦς καταγινώσκοντας ἐκφωνήσεως.

audiatur syllaba: hæc verba solummodo sunt nullam habentia exsistentiam. Nam multos alienigenas legentes multoties audivi; nullam vero distinctionem in prolatione divisarum ac non divisarum diphthongorum eosdem fecisse observavi.

§. 79. Porro contrarii dicunt ingratum penitus, ac exilem, ac muliebrem sermonem evadere, prædictis diphthongis ac elementis (§. 74.) secundum nos pronunciatis. Mekerchus quidem, qui maxime prolationem nostram oppugnaverat, nec tolerare illam potest, in sequentibus e. g. Homeri versibus juxta nostram prolationem lectis.

» Aftar epi catedi lambron phaos ieliio,
» Hi men cakkiondes evan iconde hecastos,
» Hichi hecasto doma periclitos amphigiiis
» Hiphestos piis idiisi prapidessi.

Dulcem autem, ac magnificam, ac sonoram illam, qua veteres Græci, ut ipse putat, utebantur, appellat, ita se, ô Zeus aliique Dii! habentem.

» Autar epei catedu lampron phaos êelioio,
» Hoi men cakkeiontes eban oiconde hecastos,
» Hêchi hecasto dooma periclutos amphiguêeis
» Hêphaistos poiês eiduiêsi prapidessi (1).

An non hic cum Comico Scytha exclamare congruat?

» . . . . . . . . . . . . . . . . παπαπαπαῖ!
» Ὡς γλυκερὸ τὸ γλῶσσ' ὥσπερ ἀττικὸς μέλις (2).

Ast si hæcce, ita pronunciata, *heedea*, ut secundum Mekerchum dicam, illi sint: bene autem qui ejusdem sententiæ cum illo sunt sciunto, quod ipsa nobis ingratissima, ac scythica nive frigidiora, et quidquid aliud potius, quam græca esse videntur (3).

§. 80. Cæterum svavitas ac bonus sonus sermonis non in omnibus linguis generalis, ac idem est; quod enim in una lingua sonorum censetur, idem in altera absonum aprumque

(1) L. c. p. 167.
(2) In Themosphor. vers. 1203, et 1204.
(3) Vide et G. Placent. L. c. p. 141, et Er. Schmidt. l. c. p. 650. novam prolationem tanquam ingratam vituperantes.

Ἑλληνικῇ σπανιωτέρα ἐστιν ἡ τριῶν ἐπαλλήλων συμφώνων ἐν μιᾷ συλλαβῇ φορὰ ὡς κακόφωνος· τοὐναντίον δ' ἐν τῇ Γερμανίδι εὐφωνία ταύτῃ ἰδιαιτέρα τὸ πολυσύμφωνον· διὸ καὶ ἐν πολλαῖς λέξεσιν οἱ νεώτεροι τὸ e ἀποβάλλοντες, gelobt ἀντὶ gelobet, καὶ Zimmt ἀντὶ Zimmet, κ.τ.λ λέγουσιν. Οὔτε οὖν τὴν Ἑλληνικὴν γυναικώδη φαίη ἄν τις καὶ ἄνισχυν, διὰ τὴν τῶν συμφώνων ὀλιγότητα· οὔτε τῆς Γερμανικῆς δυσηχίαν καὶ δυσφωνίαν ἂν καταγνῴη, διὰ τὴν τῶν συμφώνων πληθύν· ὡς τῇ μὲν τοῦτο, τῇ δ' ἐκεῖνο εἰς εὐφωνίαν συμβαλλομένου. Καὶ αὖθις, οἱ μὲν Ἕλληνες ἄχρι καὶ ἀηδὲς τὸ σ ὑπολαμβάνοντες, τὸν πλεονασμὸν τούτου ἀπέφευγον (§. λϐ'. σημ. 1), καὶ πολλάκις ἀντὶ τούτου τῷ τ ἐχρῶντο· ἀλλ' αὐτὸ οὐ τοιοῦτον ἐν ἄλλαις διαλέκτοις δοκεῖ, ἐν τῇ Ἰσπανικῇ μάλιστα· ἡ καὶ κατακόρως τῷ σ χρωμένη, εὔηχος, καὶ καλλίστη, καὶ ἐμφαντικωτάτη φωνῶν ἐστίν.

§. πα'. Οὗτοί εἰσιν οἱ κυριώτεροι λόγοι, δι' οὓς οἱ ἐναντίοι τὰς διφθόγγους ἐν διαιρέσει ἐκφωνεῖν ἀξιοῦσιν. Ἀλλά γε, παρὰ τὰ μέχρι τοῦ νῦν λεχθέντα, καὶ τὰ ἑξῆς ἐκ τοῦ περιόντος πρὸς ἐκείνους ἔχομεν ἀντιτεῖναι. Πρὸ πάντων οὖν φαμὲν ὡς τινὲς τῶν διφθόγγων κατὰ συναίρεσιν γίνονται· οἷον Δημοσθένεϊ ει· πολλαῖς δὲ τούτων Ποιηταί τε καὶ Συγγραφεῖς ὁτὲ μὲν ἐν διαλύσει, ὁτὲ δὲ συνῃρημένως χρῶνται· οἷον πάϊς παῖς, εὔχροος εὔχρους, κ. τ. λ. Τίς οὖν ἡ τοῦ συνῃρημένου καὶ ἀσυναιρέτου αἰσθητὴ διαφορὰ ἦν, καθ' ἑκάτερον τρόπον διῃρημένως τῶν διφθόγγων ἐκφωνουμένων (§. οδ'.);

§. πϐ'. Χωρὶς δὲ τῶν διφθόγγων καὶ ἄλλαι πολλαὶ φωνηέντων συζυγίαι ὡς μία συλλαβὴ παρὰ τῶν Ποιητῶν κατὰ συνίζησιν ἐκλαμβάνονται. » Ἔστι δ' ἡ συνίζησις, ἡ καὶ συνεκφώνησις (1),

(1) Ἡ συνεκφώνησις λέγεται καὶ συνίζησις· πάντως δὲ τετύχηκε τῶν ὀνομάτων· ὅτι ἡ φωνὴ ὑποθλίβουσα καὶ ὑποκλέπτουσά τι τῶν φωνηέντων, τὰς κακομετρίας ἀφαιρεῖ τῶν στίχων. Ὅταν γὰρ φωνηέντων γίνηται ἀλλεπάλληλος φορά, συνεκφώνησις γινομένη, καὶ ἐφιζάνειν ἀλλήλοις ποιοῦσα τὰ φωνήεντα, τὰς δύο συλλαβὰς εἰς μίαν συναιρεῖ. Οἷον ἐπὶ τοῦ προκειμένου παραδείγματος τὸ Θεοὶ δισύλλαβον ὑποκλέψασα διὰ τὴν χρείαν ἡ συνεκφώνησις, τὸ μὲν ε συνεξέθλιψε, τὸ δὲ οι προσενεγκοῦσα, μονοσύλλαβον ἀντὶ δισυλλάβου πεποίηκε τοὔνομα, καὶ γέγονε Θοι τρόπον τινά. Διαφέρει δὲ συνεκφώνησις συναλοιφῆς· κλοπὴ γάρ ἐστι χρόνων αὕτη, γραμμάτων οὔσης

esse deprehenditur. In lingua v. g. græca trium consonantium in unam syllabam concursus, velut dissonus, rarior est; e contra vero in lingua germanica svavitas ipsi peculiaris consonantium copia putatur. Quapropter recentiores in multis dictionibus *e* omittentes, *gelobt* pro *gelobet*, et *Zimmt* pro *Zimmet*, etc. dicunt. Nec græcum sermonem igitur, ob exiguum consonantium usum, muliebrem exilemque aliquis nuncuparet; nec germanicum, tanquam dissonum, ob consonantium abundantiam, accusaret; siquidem bono sono unius hoc, alterius vero illud conducit. Iterum Græci pro injucundo ac dissono σ habentes, pleonasmum ejusdem evitabant (§. 32. adnot. 1.); pro illoque multoties τ utebantur. Attamen idem non tale in aliis linguis censetur, in hispanica præsertim; quæ, licet hac litera nimis utatur, sonora, et pulcherrima, et valde expressiva est lingua.

§. 81. Hæ sunt magis præcipuæ argumentationes, ob quas adversarii diphthongos divisim pronunciandas esse contendunt. Quibus quidem præter illa, quæ usque nunc allata sunt, sequentia etiam objectare ex abundantia possumus. Præ omnibus igitur dicimus quod nonnullæ diphthongorum per synæresin fiant; ut Δημοσθέεϊ ει; quibusdam etiam earum Poëtæ ac Scriptores nunc dissolutis, nunc contractis utuntur; ut πάϊς παῖς, ἐΰχρους εὔχρους, etc. quæ ergo contracti ac non contracti sensibilis differentia esset, in utraque ratione divisim diphthongis pronunciatis (§. 78.)?

§. 82. Præter diphthongos autem etiam complures aliæ conjunctiones vocalium ut una syllaba per synizesin a Poëtis accipiuntur.» Est vero synizesis, quæ et synecphonesis vocatur (1),

(1) Synecphonesis dicitur et synizesis; et certe nomina aptissima obtinuit; quia vox supprimens et subducens vocalium quandam, cacometriam amovet versuum. Dum enim vocalium unius post alteram concursus accidit: synecphonesis instituta, et supra se jacere vocales faciens, duas syllabas in unam contrahit. In præposito nempe exemplo Θεὼ, quod duarum syllabarum est, synecphonesis ob necessitatem subducens ε quidem contraxit; ω vero efferens, unisyllabum pro dissyllabo nomen reddidit; quod quasi Θω factum est. Synecphonesis autem differt a synalœpha (commixtione); subductio enim temporum hæcce est, cum altera sit literarum. Siquidem syna;

P.

πάθος, καθ' ὃ τὰ τῶν δύο λέξεων φωνήεντα ἐν τῷ μετρεῖσθαι νοοῦνται οὐκέτι ὡς δύο, ἀλλ ὥσπερ ἐὰν τῇ φωνῇ τοῦ ἑνὸς συνανεκράθη καὶ ἡ τοῦ ἑτέρου, καὶ ὡς ἕν τι ἄμφω συνεξεφωνήθησαν » (2). Εἰ τοίνυν αἱ δίφθογγοι διῃρημένως (κατὰ συνίζησιν γὰρ, ὡς οἱ ἐναντίοι ὑπειλήφασιν, ἐκφωνητέαι εἰσί) πάλαι προὔφέροντο, πῶς Ἡφαιςίων, ἢ ἄλλος τις τῶν ἀρχαίων Μετρικῶν καὶ Γραμματικῶν οὐδεμίαν τούτου ἐποιήσαντο μνείαν; ἢ πῶς οὐδενὶ τοιούτῳ παραδείγματι ἐν τῇ περὶ συνιζήσεως διδασκαλίᾳ ἐχρήσαντο; Δεῖ οὖν τοὺς ἑτεροδόξους κατ' ἀνάγκην ἢ τὰς διφθόγγους ἀδιαιρέτως προφέρειν, ἢ καὶ πάσας τὰς κατὰ συνίζησιν παρὰ Ποιηταῖς συλλαβὰς ἐν ταῖς διφθόγγοις παραδέξασθαι· καὶ τότε ὁ τῶν διφθόγγων ἀριθμὸς πολλῷ μείζων, ἢ νῦν ἐςὶν, ἀποβήσεται, τοσούτων ἔτι προςεθεισομένων ἐκείναις, ὅσαι φωνηέντων συζυγίαι κατὰ συνίζησιν ὑπὸ τῶν Ποιητῶν ἐκλαμβάνονται.

§. πγ'. Ὅτι δ' αἱ δίφθογγοι οὐχ ὡς αἱ κατὰ συνίζησιν λαμβανόμεναι συλλαβαὶ, ἀλλ' ἀδιαιρέτως καὶ μονοφθόγγως πάλαι ἐξεφωνοῦντο, καὶ τοῦτο σαφῶς ἀποδείκνυσιν. Ἢ τί γάρ ἐςι τὸ πεῖσαν τὸν Θέογνιν ἀντὶ Θεόγνιδος Θεύγνιδος δωρικῶς εἰπεῖν;

» Ὧδε δὲ πᾶς ἐρέει Θεύγνιδός ἐςιν ἔπη.

Εἶχε μὲν γὰρ καὶ τῷ τετρασαλλάβῳ Θεόγνιδος ἄνευ βλάβης τοῦ ἔπους, ὡς τῶν εο ςοιχείων κατὰ συνίζησιν ἀντὶ μιᾶς συλλαβῆς ληφθῆναι ἐχόντων, χρήσασθαι· ἀλλά γε τούτου τὸ τρισύλλαβον Θεύγνιδος ὡς εὐφωνότερον προείλετο.

§. πδ'. Ἄλλως τε καὶ ἑκάςῃ διαλέκτῳ φύσει, ὡς οὕτως εἰπεῖν, ἔνεςι, τὸ τινὰ μὲν τῶν αὐτῆς φωνηέντων ἀλλήλοις ἑνούμενα, συνῃρημένως καὶ συγκεκραμένως δύνασθαι ἐκφωνεῖσθαι, τινὰ δὲ μή. Ἐν γοῦν τῇ ἑλληνικῇ διαλέκτῳ τὸ α, ε, ο, ι καὶ υ ταύτης τῆς δυνάμεως ἔτυχον, ὥςε δηλονότι ἀλλήλοις συμπλεκόμενα, διπλᾶ τινα γίνεσθαι ςοιχεῖα, μιᾷ πληγῇ φωνῆς, κατὰ τὰ ἁπλᾶ τῶν

τῆς συλλαβῆς· ὅτι ἡ μὲν συναλοιφὴ ὡς γράφεται καὶ βαίνεται· οἷον, ὡς ἔφαθ', οἱ δ' ἄρα· οὐ γὰρ ὁλοκλήρως βαίνομεν, οἷον, ὡς ἔφατο, ἀλλὰ ὡς γράφεται ἔφαθ'· ἡ δὲ συνεκφώνησις ὁλόκληρος μὲν γράφεται, βαίνεται δὲ ἐλλιπῶς· οἷον, χρυσέῳ ἀνὰ σκήπτρῳ. Σχολιαστ. Ἐγχειρ. Ἡφαις. σ. 9. Ἐν Παρισίοις. 1553.]

(2) Εὐςάθ. Παρεκβολ. Ἰλ. σ. 9. Ἰδὲ καὶ Ἡφαις. Ἐγχειρ. καὶ Ἀριςείδ. ἐνθ. ἀν. σ. 51.

passio, qua duarum dictionum vocales in metris intelliguntur non amplius ut duæ, sed velut si voci unius alterius quoque vox commixta esset, ambæque ut una pronunciarentur » (2). Si igitur diphthongi divisim (nam per synizesin, ut adversarii putant, pronunciandæ sunt) olim proferentur, quare Hephaestion, vel alius quidam priscorum Metricorum Grammaticorumque, nullam de hoc mentionem fecerunt? aut quare nullo tali exemplo in doctrina synizesis usi sunt? Debent igitur contrarii aut diphthongos divisim pronunciare, aut omnes vocalium conjunctiones per syninezin a Poëtis acceptas diphthongis adnumerare; et tunc numerus diphthongorum multo major, quam est modo, evadet; siquidem tot aliæ illis adjiciendæ sunt, quot conjunctiones vocalium a Poëtis per synizesin in usum trahuntur.

§. 83. Quod vero diphthongi non secundum syllabas per synizesin acceptas, sed indivise ac μονοφθόγγως olim proferebantur, vel hoc manifeste indicat. Quid enim Theognim persvaderat pro Θεόγνιδος Θεύγνιδος dorico modo dicere?

» Ὧδε δὲ πᾶς ἐρέει Θεύγνιδός ἐστιν ἔπη.

Potuisset enim etiam vocabulo tetrasyllabo Θεόγνιδος sine versus nocumento uti; quoniam elementa εο ut una syllaba per synizesin accipi valent; attamen illo trisyllabum Θεύγνιδος, ut magis sonorum, prætulerat.

§. 84. Cæterum cuilibet linguæ natura, ut ita dicam, insitum est, ut quædam ejusdem vocales secum coëundo, contracte ac commixte pronunciari valeant, nonnullæ autem minus. In lingua igitur græca α, ε, ο, ι, et υ hanc proprietatem adepta sunt, ut nempe secum commixta, duplicia quædam uno vocis ictu, juxta simplices vocalium proferi valentia,

lœpha ut scribitur, ita etiam legitur; e. g. ὡς ἔφαθ', εἶδ' ἄρα; non enim integre legimus, nempe ὡς ἔφατο; sed sicuti hoc scribitur ἔφαθ'. Synecphonesis vero integra quidem scribitur, imperfectius autem legitur: ut χρυσέῳ ἀνὰ σκήπτρῳ. Scholiast. Enchirid. Hephaest. p. 9. Parisiis. 1553.

(2) Eustath. Parecb. Il. p. 9. Vide et Hephæst. Enchir. et Aristid. l. c. p. 51.

φωνηέντων, ἐκφέρεσθαι ἔχοντα. Τούτων δὲ τὸ μὲν ι καὶ υ τῷ α, ε καὶ ο προσγραφόμενα, τὰς κυρίας τῶν διφθόγγων ἀποτελεῖ· τὰς δὲ τρεῖς τῶν καταχρηστικῶν μόνον τὸ ι τῷ α, η καὶ ω ὑπογραφόμενον ἀπαρτίζει· ἐκ δὲ τῆς αὐτῶν μετ' ἀλλήλων συμπλοκῆς ἡ τελευταία τῶν καταχρηστικῶν υι γίνεται. Ὡς εἴ γε προσφυὴς τούτῳ πάντων τῶν γραμμάτων ἡ φύσις ἦν, οὐδὲν ἂν τοὺς ἀρχαίους ἐκώλυσε, πάσας τὰς κατὰ συνίζησιν λαμβανομένας συζυγίας τῶν φωνηέντων ἀδιαιρέτως ἐν μιᾷ συλλαβῇ κατὰ τὰς διφθόγγους ἐν ποιήμασιν ἐκφωνεῖν· καίτοι ἔνιαι τούτων ἐν ἄλλαις διαλέκτοις κύριαι εἰσὶ δίφθογγοι, καὶ ὡς μία συλλαβὴ ἐκφωνοῦνται, διὰ τὴν τοιάνδε δήπου ἑκάστης φωνῆς ἰδιότητα, καὶ τὴν ἀρχαίαν ἀποδοχήν· ὥσπερ τοὔμπαλιν διὰ τὸν αὐτὸν λόγον πολλαὶ τῶν τῆς Ἑλληνίδος κυρίων διφθόγγων δύο συλλαβαὶ ἐν ἐκείναις εἰσὶ, καὶ συνηρημένως ἀναγνωσθῆναι οὐ δύνανται.

§. πέ. Ἔοικε δ' ὅτι καὶ ἡ τῆς λέξεως δίφθογγος ἐτυμολογία ἀφορμὴν τοῖς πολλοῖς παρέσχε τοῦ ὑπολαμβάνειν ὡς αἱ δίφθογγοι διῃρημένως ἐκφωνητέαι εἰσίν. Ἀλλ' ἐνταῦθα ἡ λέξις οὐχ ὡς ἐν τῇ Μουσικῇ (1), ἀλλὰ καταχρηστικῶς ἐκλαμβάνεται· οὐ δύο φθόγγους, οὓς συμφώνους Μουσικοὶ καλοῦσι, καὶ ὧν κρουομένων, ἢ αὐλουμένων, οἱονεὶ κρᾶσις ἐν τῇ προφορᾷ τούτων, καὶ ὥσπερ ἑνότης παρεμφαίνεται (2), ἀλλ' ἕνα ἦχον ἐκ δυοῖν στοιχείων συγκείμενόν τε καὶ συγκεκραμένον δηλοῦσα. Διὸ Σέξτος μὲν ἁπλῶς τὸν τοῦ αι, καὶ ει, καὶ ου φθόγγον ἔφη· Γαληνὸς δὲ ἄλλως τῇ λέξει δίφθογγος καταχρώμενος, τὸν τοῦ η, καὶ ε δίφθογγον εἶπεν (§. νέ.). Ὥστε οὐκ ἂν ἁμάρτοι τις, σύνθετα, ἢ διπλᾶ φωνήεντα τὰς διφθόγγους μετονομάσας.

§. πς΄. Ἀλλὰ τίη μοι ταῦτα περὶ δρῦν, ἢ περὶ πέτρην; Οὐ γὰρ ἀνάγκη περὶ τοῦ πράγματος ἔτι μακρηγορεῖν, ὅπου γε ἀρχαίων Ἑλλήνων μαρτυρίαις αὐτὸ ἐμπεδῶσαι δυνάμεθα. Ὁ μὲν οὖν Κοϊντιλιανὸς Ἀριστείδης τοιαῦτα φησί. « Τούτων (τῶν

(1) Φωνῆς πτῶσις ἐπὶ μίαν τάσιν ἐστὶν ὁ φθόγγος. Ἀριστόξ. ἐνθ. ἀν. Β. Α΄. σ. 15. Φθόγγος ἐστὶν ἐμμελοῦς φωνῆς πτῶσις ὑπὸ μίαν τάσιν. Σέξτος πρὸς Μουσικ. Ὅρα περὶ τούτου καὶ τοὺς λοιποὺς τῶν Μουσικῶν.

(2) Γαουδέντιος Φιλόσοφος Ἁρμονικ. Εἰσαγ. σ. 11. Ἴδε καὶ Εὐκλείδη Κατατομ. Κανόν. σ. 24.

elementa evadant. Ex hisce ι et υ, literis α, ε, ο adscripta, proprias diphthongos efficiunt; tres vero diphthongorum impropriarum ι solum α, ε, et ω subscriptum absolvit. Ex horum autem secum complexione υι impropriarum ultima fit. Quod si huic indoles omnium literarum idonea fuisset: nihil veteres impedisset omnes a Poëtis per synezesin usitatas syllabas indivise in una syllaba juxta diphthongos in poëmatibus proferre; licet nonnullæ earum in aliis linguis propriæ sint diphthongi, ac ut una syllaba pronuncientur; propter talem certe cujuslibet sermonis indolem, priscamque receptionem; sicut e contra multæ linguæ græcæ propriæ diphthongi duæ syllabæ apud illos sunt, contracteque legi nequeunt.

§ 85. Videtur vero vocabuli etiam δίφθογγος etymologiam ansam plerisque præbuisse, ut diphtongos divisim pronunciandas esse putarent. Hic autem vocabulum non sicut in Musica (1), sed improprie sumitur; ac non duos φθόγγους, quos consonos Musici vocant; et quibus simul percussis, aut tibia modulatis, veluti mixtio in prolatione eorum, ac quasi unitas apparet (2); sed unum ex duobus elementis compositum significat. Quocirca Sextus quidem simpliciter τὸν τοῦ αι, καὶ ει, καὶ ου φθόγγον dixit; Galenus vero dictione δίφθογγος aliter abutens, τὸν τοῦ η, καὶ ε δίφθογγον dicit (§ 55). Ideo non peccavit, si quidam diphtongos *compositas*, seu *duplices vocales* denominet.

§ 86. Sed quo mihi hæc circa quercum, aut circa petram? Nam non necesse est de hac re amplius verba facere; cum eandem priscorum Græcorum testimoniis consolidare queamus. Aristides quidem Quintilianus talia dicit. » His (lite-

(1) Phthongus est vocis casus in unam tensionem. Aristox. l. c. L. I. p. 15. Phthongus est vocis modulatæ casus sub unam extensionem. Sext. advers. Music. Vide de hoc et cæteros Musicos.

(2) Gaudent. Philosoph. Introduct. Harmon. p. 11. Vide et Euclid. Sect. Canon. p. 24.

Digitized by Google

γραμμάτων) συντιθεμένων, γίνονται συλλαβαί, ταῖς τῶν φωνηέντων διαφοραῖς, ὧν ἐπέχουσιν, ὁμώνυμοι· καὶ αἱ μὲν ἐξ ἑνὸς ἔχουσι τὰς δυνάμεις, αἱ δὲ ἐκ πλειόνων· καὶ τούτων αἱ μὲν ἐκ φωνηέντων, ὡς αἱ δίφθογγοι· ἃς ἤτοι κατὰ κρᾶσιν, ἢ κατὰ συμπλοκὴν, ἢ κατ' ἐπικράτειαν γίνεσθαι φαμέν· αἱ δὲ καὶ διὰ συμφώνων, ὡς αἱ θέσεις σχηματιζόμεναι.» (1). Κατὰ κρᾶσιν οὖν, τόγε μοι δοκοῦν, γίνονται ἡ αι καὶ ου· ἑκατέρου γὰρ τῶν ταύτας συντιθέντων ϛοιχείων ὁ ἦχος συγκιρνώμενος, ἄλλον ἦχον ἀποτελεῖ διάφορον· κατὰ συμπλοκὴν δὲ ἡ αυ, καὶ ευ· ὡς τοῦ ἤχου ἀμφοῖν τῶν συμπλακέντων ϛοιχείων ἀκουομένου· κατ' ἐπικράτειαν δὲ ἡ ει, καὶ οι· ἐπεὶ ἐν ταύταις μόνος ὁ ἦχος τοῦ ι ἀκούεται, ὁ δὲ τοῦ ε, καὶ ο οὐδαμῶς. Καὶ αὖθις. «Ἐκ δὴ τῆς τούτων ποιότητος αἱ τῶν συλλαβῶν συνίϛανται κράσεις, τοῖς πλεονάζουσι τῶν ϛοιχείων, ἃ κατακρατοῦσιν ἐν ταῖς ἐκφωνήσεσι, τοὺς χαρακτῆρας ὁμοιούμεναι (2).»

§. πζ'. Ὁ δ' Ἐμπειρικὸς Σέξτος οὕτως. «Καὶ ἀναϛρόφως ἔσεσθαί τινα φασὶν ἔνιοι τῶν Φιλοσόφων πλείονα ϛοιχεῖα, διάφορον ἔχοντα δύναμιν τῶν συνήθως παραδιδομένων· οἷον καὶ τὸ αι, καὶ τὸ αυ, καὶ πᾶν ὃ τῆς ὁμοίας ἐϛὶ φύσεως (1). Τὸ γὰρ ϛοιχεῖον κριτέον μάλιϛα ὅτι ϛοιχεῖον ἐϛὶν, ἐκ τοῦ ἀσύνθετον καὶ μονοποιὸν ἔχειν φθόγγον· οἷός ἐϛιν ὁ τοῦ α, καὶ ε, καὶ ο, καὶ τῶν λοιπῶν. Ἐπεὶ οὖν ὁ τοῦ αι, καὶ ει δίφθογγος ἁπλοῦς ἐϛι καὶ μονοειδὴς (2), ἔϛαι καὶ ταῦτα ϛοιχεῖα. Τεκμήριον δὲ τῆς ἁπλότητος καὶ μονοειδείας τὸ λεχθησόμενον. Ὁ μὲν γὰρ σύνθετος φθόγγος οὐχ οἷος ἀπ' ἀρχῆς προσπίπτει τῇ αἰσθήσει, τοιοῦτος ἄχρι τέλους παραμένειν πέφυκεν, ἀλλὰ κατὰ παράτασιν ἑτεροιοῦται· ὁ δὲ ἁπλοῦς καὶ ὄντως τοῦ ϛοιχείου λόγον ἔχων, τοὐναντίον ἀπ' ἀρχῆς ἄχρι τέλους ἀμετάβολος ἐϛίν. Οἷον τοῦ μὲν ρα φθόγγου ἐν παρατάσει προφερομένου, δῆλον ὡς οὐχ ὡσαύτως αὐτοῦ κατὰ τὴν πρώτην πρόπτωσιν ἀντιλήψεται ἡ αἴσθησις καὶ κατὰ τὴν τελευταίαν· ἀλλὰ κατ' ἀρχὰς μὲν ὑπὸ τῆς ρ ἐκφωνήσεως κινηθή-

(1) Ἐνθ. ἀν. Β. Α'. σ. 44.

(2) Ὁ αὐτ. Β. Β'. σ. 90.

(1) Αἱ λοιπαὶ δηλαδὴ τῶν διφθόγγων.

(2) Ἆρα μονοειδὴς ἐϛιν ὁ φθόγγος, τῆς μὲν αι διῃρημένως ὡς αϊ, τῆς δὲ ει ὡς εϊ κατὰ τοὺς ἐναντίους προφερομένων;

ris) compositis, fiunt syllabæ, vocalium differentiis quas obtinent, cognomines; quarum aliæ ex una litera habent potestates, aliæ ex pluribus; atque harum aliæ ex vocalibus, ut diphtongi; quas aut per crasin, aut per complexionem, aut per dominationem fieri dicimus; aliæ vero per consonantes, quæ ut positiones figurantur (1). » Per *crasin* igitur, ut mihi videtur, αι et ου fiunt; nam amborum has componentium elementorum sonus commixtus, alium sonum differentem efficit; per *complexionem* vero αυ et ευ; quia sonus amborum complectorum elementorum auditur; sicut et per *dominationem* ει et οι; quia in hisce solius ι sonus auditur; sonus autem ε et ο nequaquam. Iterum. » Ex harum autem qualitate syllabarum mixturæ constituuntur, abundantibus literis, quæ in pronunciationibus prævalent, quantum ad figuras, similes (2) ».

§ 87. Sextus vero Empiricus ita loquitur. » Contra autem dicunt nonnulli Philosophi futura plura elementa; ut quæ vim non habeant diversam ab iis, quæ tradi solent; ut αι et ου, et quidquid est similis naturæ (1). Elementum enim maxime judicandum est esse elementum, ex eo quod sonum habeat incompositum et unicum; ut est sonus α, et ε, et ο, et cæterorum. Quoniam igitur sonus αι et ει est simplex et uniformis (2), erunt hæc quoque elementa. Quod sit autem sonus simplex et uniformis, signum erit quod dicetur. Nam sonus quidem compositus non qualis ab initio incurrit in sensum, talis natura permanet usque ad finem; sed per extensionem fit diversus; qui autem est simplex, et re vera locum tenet elementi, contra ab initio usque ad finem est immutabilis. Ut exempli gratia cum syllabæ ρα quidem sonus profertur in extensione, est perspicuum quod non similiter eum apprehendet sensus in prima incursione et in ultima; sed in principio quidem a prolatione ρ movebitur; postea autem ea deleta, pure ac

(1) L. c. L. I. p. 44.

(2) Id. L. 2. p. 90.

(1) Cæteræ nempe diphthongi.

(2) An uniformis sit sonus, αι divisim ut αϊ, ει vero ut εϊ, juxta contrarios pronunciatis?

σεται· μεταῦθις δὲ, ἐξαφανισθείσης αὐτῆς, εἰλικρινοῦς τῆς τοῦ α δυνάμεως ποιήσεται τὴν ἀντίληψιν· ὅθεν οὐκ ἂν εἴη ςοιχεῖον τὸ ρα, καὶ πᾶν τὸ ἐοικὸς αὐτῷ. Εἰ δὲ τὸν τοῦ αι φθόγγον λέγοιεν, οὐδὲν ἔςαι τοιοῦτον· ἀλλ' οἷον ἀπ' ἀρχῆς ἐξακούεται τῆς φωνῆς ἰδίωμα, τοιοῦτον καὶ ἐπὶ τέλει (3)· ὥςε ςοιχεῖον ἔςαι τὸ αι. Τούτου δὲ οὕτως ἔχοντος, ἐπεὶ καὶ ὁ τοῦ ει φθόγγος, καὶ ὁ τοῦ ου μονοειδὴς καὶ ἀσύνθετος καὶ ἀμετάβολος ἐξ ἀρχῆς ἄχρι τέλους λαμβάνεται, ἔςαι καὶ οὗτος ςοιχεῖον (4). »

§. πή. Ταῦτα μὲν ἡμῖν δοκεῖ εἰς ἀπόδειξιν τῆς τῶν διφθόγγων ἀδιαιρέτου ἐκφωνήσεως ἱκανῶς εἰρῆσθαι. Ἵνα δὲ μή τῳ φανείημεν ἐσχάτην καὶ ἱερὰν ἄγκυραν τὰ τοῦ Ἀριςείδου καὶ Σέξτου ἐῤῥιφότες, καινοτέρων τε ἐλέγχων ἀποροῦντες· ἔγνωμεν καὶ εἰδικώτερον περὶ τῆς τῶν διφθόγγων προφορᾶς διελθεῖν, μαρτύριά τε ἐκ πολλοῦ τοῦ περιόντος ὧν εἰρήκαμεν παραθεῖναι, ὡς πίςιν μᾶλλον οὕτω ληψομένου τοῦ λόγου. Ὀλίγ' οὖν ἄττα περὶ τῆς τῶν διφθόγγων διαιρέσεως προειπόντες, ἐπὶ τὴν εἰδικωτέραν τούτων ἐκφώνησιν θαῤῥοῦντες χωρήσομεν (1).

(3) Ἆρα τὰ αὐτὰ συμβαίνουσι, τῶν διφθόγγων ἐν διαιρέσει ἐκφωνουμένων;

(4) Πρὸς Γραμματ. κ. έ. Σημειωτέον δὲ ὡς τὰς πρὸς τῶν Ποιητῶν κατὰ συνίζησιν λαμβανομένας τῶν φωνηέντων συζυγίας ςοιχεῖα ὁ Σέξτος οὐκ ἀπεκάλεσε, διὰ τὸ μὴ ἔχειν δήπου ἐν μιᾷ συλλαβῇ κατὰ τὰς διφθόγγους ἐκφωνηθῆναι (§. πγ'.). Τούτοις δ' ἔχοι ἂν τις καὶ τὰ τοῦ Διονυσίου Λογγίνου προσθεῖναι. « Συλλαβὴ παρὰ τοῦτο ὠνόμαςαι, παρὰ τὸ ποσότητα ςοιχείων εἰς ταὐτὸν συλλαμβάνειν, ὧν ἔξεςιν ὑφ' ἕνα φθόγγον παραλαβεῖν ». (Ἀποσπασμάτ. γ'.). Πῶς οὖν οἷόν τε τὰς διφθόγγους, ἢ μόνας, ἢ τοῖς συμφώνοις συλλαβιζομένας, ὑφ' ἕνα φθόγγον παραλαβεῖν, εἰ διῃρημένως προφέροιντο; καὶ μάλιςα ἐν λέξεσι πολυδιφθόγγοις, οἷον τοῖς προαυλείοις, τοῖς ςοιχείοις, κ. τ. λ; Καὶ αὗται γὰρ πολυσυλλαβώτεραι ἔσονται, καὶ τὰ τοῦ τόνου δυσδιακριτώτερα ἀποβήσεται. Τὰ αὐτὰ καὶ ἐκ τῶν τοῦ Βακχείου τοῦ Γέροντος ἐννοεῖσθαι ἔχουσι. « Συλλαβὴ ἐςὶ σύλληψις ςοιχείων δύο ἢ πλειόνων, πάντως ἑνὸς τῶν φωνηέντων παραλαμβανομένου ». (Εἰσαγ. Τέχν. Μουσικ. σ. 22). Ἔοικε γάρ μοι ὡς διὰ τοῦ, πάντως ἑνὸς τῶν φωνηέντων παραλαμβανομένου, καὶ τὴν ἀδιαίρετον τῶν διφθόγγων προφορὰν ὁ Συγγραφεὺς ὑπαινίττεται.

(1) Ἐνταῦθα δὲ καὶ τοῦτο σημειωτέον· ὡς ἐν τοῖς τόποις, ἔνθα πάλαι ἑκάςη τῶν ἑλληνικῶν διαλέκτων ἐν χρήσει ἦν, καὶ νῦν ἔτι

sincere apprehendet vim literæ α; quam ob rem ρα non est elementum, et quidquid est ei simile. Sed si dicant sonum αι, nihil erit hujusmodi; sed qualis ab initio auditur vocis proprietas, talis etiam in fine (3); qua de causa αι erit elementum. Cum hoc autem ita sit: quandoquidem et sonus ει, et sonus ου uniformis, et incompositus, et immutabilis ab initio ad finem usque accipitur, erit is quoque elementum (4).»

§. 88. Hæcce quidem satis dicta esse ad indivisam diphthongorum prolationem demonstrandam nobis videntur. Ne autem alicui appareat ultimam et sacram anchoram Aristidis et Sexti testimonia nos ejecisse, demonstrationibusque aliis carere: decrevimus specialiter quoque de prolatione diphthongorum disserere, testimoniaque ex magna abundantia dictis afferre, ut majorem valorem sermo adipiscatur. Paucis igitur de divisione diphthongorum præmissis, ad specialem harum prolationem cum fiducia pergemus (1).

(3) An eadem accidant in divisa diphthongorum prolatione?

(4) Advers. Grammat. c. 5. Notandum autem est quod conjunctiones vocalium, per synizesim a Poëtis sumtas, elementa Sextus non appellaverit; quia non possunt in una syllaba juxta diphthongos pronunciari (§. 83.). His vero possit quidam et verba Dionysii Longini addere. » Syllaba ex eo vocata est, quia quantitatem elementorum, quæ uno sono pronunciari licet, ad unum comprehendit. » (Fragment. III.) Quomodo igitur fieri possit ut diphthongos, vel solas, vel cum consonantibus syllabas formantes, uno sono pronunciemus? et præsertim in multas diphthongos habentibus dictionibus, ut τοῖς προαυλείοις, τοῖς στοιχείοις, etc? Nam et hæ syllabas plures habere apparebunt, et accentuatio difficilior discretu evadet. Eadem etiam ex verbis Bachii Senioris intelligi possunt. » Syllaba est comprehensio duarum aut plurium literarum, utique vocalium una semper assumta. » (Introd. Art. Music. p. 22.) Videtur enim mihi quod Auctor per hæc : *Utique vocalium una semper assumta*, diphthongorum quoque indivisam prolationem subintelligat.

(1) Hic vero notandum etiam est, quod in locis, ubi olim singulæ græcarum dialectorum in usu erant; in iisdem et nunc adhuc idiotismi

§. πθ'. Πᾶσαι αἱ διφθόγγοι δέκα, ἢ μᾶλλον εἰπεῖν δυοκαίδεκα τὸν ἀριθμὸν εἰσὶν, εἰς κυρίας καὶ καταχρηϛικὰς διαιρούμεναι. Καὶ κύριαι μὲν εἰσὶν ἕξ, αι, αυ, ει, ευ, οι, ου· αἷς καὶ τῆς ηυ, ἀττικῶς ἐκ τῆς ευ, καὶ τῆς αυ, ἰωνικῶς ἐκ τῆς αυ γιγνομένης, προσεθεισῶν, ὀκτὼ ἡμῖν ἐκεῖναι ἀπέβησαν· καταχρηϛικαὶ δὲ τέσσαρες, ᾳ, ῃ, ῳ, υι. Δοκεῖ δέ μοι τὴν ηυ καὶ ωυ διὰ τοῦτο πρὸς τῶν πλειόνων Γραμματικῶν ταῖς διφθόγγοις μὴ συγκαταριθμηθῆναι, ὅτι οὐ κοιναὶ πᾶσι τοῖς Ἕλλησιν ἦσαν. Ἐκ δὲ τῶν καταχρηϛικῶν διφθόγγων ἡ υι, λόγῳ μὲν τῆς τοῦ ι προσγραφῆς, τῶν ἄλλων τριῶν, αἷς τὸ ι ὑπογράφεται, διαφέρουσα, μᾶλλον ταῖς κυρίαις, ὑπογραφόμενον τὸ ι καὶ υ ἐχούσαις, ἐϛὶ παρεμφερής· ἐπεὶ δὲ, τοῦ ι τῷ υ προσγραφέντος, οὐδοτιοῦν ἡ τοῦ υ, ὡς ταῖς πλείοσι τῶν κυρίων διφθόγγων συμβαίνει, ἐκφώνησις ἑταιροιοῦται, τούτῳ ταῖς καταχρηϛικαῖς αὖθις, ὧν ἡ προφορὰ καὶ χωρὶς τοῦ ὑπογεγραμμένου ι ἡ αὐτὴ παραμένει, ἔϛιν ἐμφερής (1). Διὰ τοῦτο γὰρ αὗται καταχρηϛικαὶ ὠνομάσθησαν, ἐπεί γε οὐδεμίαν πρὸς τὰς κυρίας διφθόγγους, διαφόρως τῶν ϛοιχείων, ἐξ ὧν σύγκεινται, ἐκφερομένας, ὁμοιότητα ἔχουσι (§. πδ'.). Καὶ ταῦτα μὲν οὕτως.

ἐν τούτοις ἰδιότητές τινες σώζονται. Οἷον τὰ τῆς Β'. συζυγίας τῶν περισπωμένων ῥήματα ἀσυναιρέτως ἐν Ἠπείρῳ λέγουσι, πεινάω, ἀντὶ πεινῶ, κ. τ. λ. καὶ ἀντὶ τοῦ η τῷ α χρῶνται, ἆχος, ἀντὶ ἦχος, κ. τ. λ. Ἀλλ' οὐδεὶς οὐδαμοῦ τὰς διφθόγγους διῃρημένως προφέρει.

(1) Ποικίλη τις ἡ τοῦ ὑπογραφομένου ι ἐν ἀρχαίοις μνημείοις καὶ ἀντιγράφοις διαφορά ἐϛί. Νῦν μὲν γὰρ τοῖς ϛοιχείοις προσγράφεται, ἢ χαρακτῆρι τούτοις ἴσῳ, ἢ καὶ ἐλάττονι· (ὅρα Ἀβερκ. ἔνθ. ἀν. σ. 271) νῦν δὲ παντάπασιν ἄπεϛι· περὶ ὧν Μοντεφαυκόνιος μετιτέος (ἔνθ. ἀν.). « Ἔϛι δὲ καὶ χαλκῆ εἰκὼν ἐν τῷ θεάτρῳ ἐπιγραφὴν ἔχουσα·

» Ἤτοι μὲν τόδε καλὸν ἀκουέμεν ἐϛὶν ἀοιδοῦ
» Τοίου γ', οἷος ὅδ' ἐϛὶ θεοῖς ἐναλίγκιος αὐδῇ.

Οὐ ϛοχασάμενος δὲ ὁ ἐπιγράψας, τὸ τελευταῖον γράμμα τοῦ δευτέρου ἔπους παρέλιπε, τοῦ πλάτους τῆς βάσεως μὴ συνεξαρκοῦντος· ὥϛε τῆς πόλεως ἀμαθίαν καταγινώσκειν παρέσχε, διὰ τὴν ἀμφιβολίαν τὴν παρὰ τὴν γραφὴν, εἴτε τὴν ὀνομαϛικὴν δέχοιτο πτῶσιν τῆς ἐσχάτης προσηγορίας, εἴτε τὴν δοτικήν. Πολλοὶ γὰρ ἄνευ τοῦ ι γράφουσι τὰς δοτικάς, καὶ ἐκβάλλουσί γε τὸ ἔθος, φυσικὴν αἰτίαν οὐκ ἔχον.» Στράβ. Β. ΙΔ'. σ. 617.

§. 89. Omnes diphthongi decem, aut melius dicere, duodecim numero sunt, in propriasque ac improprias dividuntur. Et propriæ quidem sunt sex, αι, αυ, ει, ευ, οι, ου; quibus ηυ, quæ attice ex ευ fit, et ωυ, quæ ionico modo ex αυ formatur, additis, octo propriæ diphthongi evadunt; impropriæ autem sunt quatuor, ᾳ, ῃ, ῳ, υι. Hac vero de causa, ut mihi videtur, ηυ et ωυ diphthongis a pluribus Grammaticis non adnumeratæ sunt; quia non communes omnibus Græcis erant. Ex impropriis autem diphthongis υι, cum a tribus cæteris, quibus ι subscribitur, ratione adscriptionis ι differat: magis propriis, quæ ι et υ adscriptum habent, similis est; quoniam vero, ι literæ υ adscripto, nequaquam prolatio υ, ut hoc plerisque diphthongorum propriarum accidit, commutatur: quoad hoc iterum ad impropriarum, quarum pronunciatio et sine subscripto ι eadem permanet, forum redit (1). Hac ex re enim istæ impropriæ appellatæ sunt, quia nullam cum propriis, quæ diversiter quam literæ eas componentes, proferuntur, similitudinem habent (§. 84.). Hæc quidem hactenus.

quidam earundem conserventur. E. g. in Epiro verba II. conjugationis contractorum sine contractione proferunt, πεινάω, pro πεινῶ, etc. etiam pro ᾳ utuntur α, ἆχεις, pro ᾖχεις, etc. Nemo autem diphthongos divisim pronunciat.

(1) Multifaria subscripti ι in priscis monumentis ac codicibus differentia est. Nunc enim literis adscribitur, vel charactere illis æquali, vel minori (vide Haverc. l. c. p. 271); nunc vero penitus deficit; de quo Montefaucon consulendus est (l. c.).» Alia ænea imago est in theatro hoc epigrammate insignita.

» Ἦτοι μὲν τόδε καλὸν ἀκουέμεν ἐστὶν ἀοιδοῦ
» Τοίου γ', οἷος ὅδ' ἐστὶ θεοῖς ἐναλίγκιος αὐδῇ.

Ubi qui epigramma inscripsit, cum non satis considerate animadverteret, ultimam secundi versus literam prætermisit, cum basis latitudo non sufficeret. Quæ res civitatem ignorantiæ condemnari exhibuit, propter ambiguitatem, quæ oritur ex scriptura, num ultima dictio in nominativo casu accipienda sit, an in dativo. Nam multi dativos sine ι scribunt, et consvetudinem ejiciunt, quæ naturalem causam non habet.» Strab. L. XIV. p. 617.

# ΚΕΦΑΛΑΙΟΝ Δ'.

## περὶ τῆς τῶν Διφθόγγων Ἐκφωνήσεως ἐν Εἴδει.

§. γ'. Ἐπεὶ δ' ἐν τοῖς μετέπειτα ῥηθησομένοις πολλάκις ταῖς τοῦ κλεινοῦ Εὐςαθίου χρησόμεθα μαρτυρίαις· οὐκ ἂν εἴη περίεργον ἀποσπάσματά τινα τούτου, ἐν οἷς μάλιςα περὶ παρηχήσεως λόγον ποιεῖται, παραθέσθαι ἐνταῦθα, καὶ εἴ τι ἐν τούτοις συντόμως ἢ ἀσαφῶς εἴρηται, πλατύτερον ἐκθεῖναι καὶ εὐκρινέςερον. Ἐν ταῖς Παρεκβολαῖς οὖν τῆς Ἰλιάδος σ. 94. φησίν. «Ὅτι μὲν τὴν Αἰγαίωνος παρήχησιν ἐξέκλινεν, ὡς εἴρηται, ὁ Ποιητὴς, ἐκ τοῦ μὴ ὁμοιοπτώτως εἰπεῖν· Αἰγαίων κύδεϊ γαίων, ἀλλ' ἐν ἀρχῇ μὲν ἑνὸς ςίχου εἰπεῖν Αἰγαίωνα, ἐν δὲ τέλει τοῦ ἑτέρου γαίων, αἰτιατικὴν δηλαδὴ καὶ εὐθεῖαν· εἰ καὶ ἄλλως ἡ ἔκθλιψις τοῦ α τῆς αἰτιατικῆς εἰς τρισυλλαβίαν συςείλασα τὸν Αἰγαίωνα, ἔμφασιν δίδωσι παρηχήσεως. Καὶ οὕτως μὲν οὐ καθαρῶς παρήχησεν ὁ Ποιητὴς ἐν τῷ Αἰγαίωνι· ἐφεξῆς δὲ ἑτέρᾳ παρηχήσει χρῆται εἰπὼν, ὅτι τὸν Αἰγαίωνα ὑπέδδεισαν μάκαρες θεοὶ, οὐδέ τ' ἔδησαν. Τοῦτο δὲ πάνυ καινότροπον, διὸ καὶ σπάνιαι αἱ τοιαῦται πανταχοῦ παρηχήσεις. Ὡς ἐπὶ τὸ πολὺ γὰρ αἱ παρηχήσεις, ἤγουν αἱ ταὐτὸν ἠχοῦσαι λέξεις, διαφορὰν ἔχουσιν οὐ μόνον κατὰ τὴν σημασίαν, ἀλλὰ καὶ κατὰ τὴν προφοράν· οἷον, Εὐπείθει πίθοντο, καὶ, κατὰ πεδίον ἀλήϊον οἶος ἀλᾶτο πάτον ἀνθρώπων ἀλεείνων (1). Τὸ δὲ πάντῃ ταὐτοφώνους εἶναι τὰς παρηχήσεις σπάνιον καὶ μεμετρημένον παρὰ τῷ Ποιητῇ· οἷον καὶ τό· χόλος δέμιν ἄγριος ᾕρει, Ἥρῃ δ' οὐκ ἔχαδε ςῆθος χόλον. Τοιοῦτόν τι καὶ τὸ πρὸ ὀλίγου ῥηθὲν, τό· ἀλλὰ πίθεσθε καὶ ὔμμες, ἐπεὶ πείθεσθαι ἄμεινον· καὶ γὰρ καὶ τὸ πίθεσθε μέσου ἀορίςου προςακτικοῦ πληθυντικοῦ, καὶ τὸ πείθεσθαι ἀπαρέμφατον ἐν διαφόρῳ γραφῇ τὸν αὐτὸν ἦχον ἔχουσι. Καὶ ἐν τοῖς ἑξῆς δὲ τὴν τῆς Ἥρας κλητικὴν διὰ

(1) Ἡ διαφορὰ νοείσθω ἐν τῇ παραληγούσῃ τοῦ πίθοντο. κ. ληγούσῃ τοῦ Εὐπείθει, καὶ τῇ τ. λ.

# CAPUT IV.

## DE PRONUNCIATIONE DIPHTHONGORUM IN SPECIE.

§ 90. Cum vero in sequentibus multoties celeberrimi Eustathii testimoniis uturi simus : non supervacuum erit fragmenta quædam ejusdem, in quibus præcipue de parechesi sermo fit, hic adferre; ac si in illis aliquid concise vel obscure dictum sit, fusius ac exactius explicare. In Parecbolis igitur Iliadis p. 94. dicit : » Quod Poëta effugerit parechesin (agnominationem) Ægæonis, ut dictum est, cum non pronunciaverit in eodem casu Αἰγαίων κύδεϊ γαίων; sed in initio unius versus dixit Αἰγαίωνα, et in fine alterius γαίων, per casum accusativum et rectum; quanquam aliter elisio τοῦ α accusativi casus faciens Αἰγαίωνα trisyllabum, expressum agnominationis judicium det. Et ita quidem non pure et apparte usus est Poëta parechesi in Αἰγαίωνι. Sed deinde agnominatione altera utitur, dicens Αἰγαίωνα ἔδδεισαν μάκαρες θεοὶ, οὐδέ τ' ἔδησαν. Hoc autem valde novi, et mutati cujusdam modi est; ideo tales parecheses ubique raræ sunt. Majori enim ex parte parecheses, eundem nempe sonum efficientes dictiones, differunt non solum significatione, sed etiam pronunciatione; ut, Εὐπείθει πείθοντο; et κατὰ πεδίον ἀλήϊον οἶος ἀλᾶτο, πάτον ἀνθρώπων ἀλεείνων (1). Verum rarum est et moderatum agnominationes esse ejusdem soni usquequaque, id est in omnibus syllabis, apud Poëtam; cujus modi est, χόλος δέ μιν ἄγριος ᾕρει, Ἥρῃ δ' οὐκ ἔχαδε στῆθος χόλον. Tale etiam est paulo ante dictum, ἀλλὰ πίθεσθε καὶ ὔμμες, ἐπεὶ πείθεσθαι ἄμεινον; etenim τὸ πίθεσθε secundi aoristi modi imperativi pluralis persona, et τὸ πείθεσθαι infinitivus, in diversa scriptura eundem sonum habent. Item in sequentibus ponit rectum casum nominis Ἥρας per duo η, et vocativum

(1) Differentia in ultima Εὐπείθει, et penultima πείθοντο intelligenda est, etc.

τῶν δύο η, καὶ τὴν τῆς Ἴριδος διὰ τῶν δύο ι, ἐγγὺς ἀλλήλων τίθησι κατὰ τοιαύτην παρήχησιν, παντελῶς μὲν ἠχοῦσαν ταὐτὸν, ἀνομοιότητα δὲ ἔχουσαν κατά τε τὴν ἔννοιαν καὶ τὴν γραφήν· φησὶ γάρ· Ἶρι θεὰ, τίς γάρ σε προέηκεν; Ἥρη με προέηκε. Τούτου τοῦ εἴδους ἐςὶ καὶ τό· οὐκ ὀφθήσῃ κενὸς ἐναντίον μου, ἀλλ' ἄλλον τρόπον καινός· καὶ γὰρ καὶ ἐνταῦθα κενὸς μὲν καὶ καινὸς τὰ αὐτὰ κατὰ τὸν ἦχον· πλὴν τὸ μὲν πρῶτον διὰ τοῦ ε ψιλοῦ γράφεται, τὸ δὲ δεύτερον τὴν διὰ διφθόγγου γραφὴν ἀπηνέγκατο. Τοιοῦτον καὶ παρὰ Θεοκρίτῳ τό· Ὄρη φίλε ὃ μελύδριον ὥρῃ ἐξεπόνασα (2)· τουτέςιν ὅρα τὸ μέλος, ὃ καθ' ὥραν ἐπονήσαμεν· καὶ τὸ παροιμιῶδες· ζεῖ χύτρα, ζῇ φιλία. Καὶ τοῦτο μὲν τοιοῦτον παρηχήσεως εἶδος, ταὐτοφωνίαν ἔχον παντελῆ, διαφορὰν δὲ φέρον κατὰ μόνην γραφήν· ὅπερ ἐςὶ διάφορον πρὸς τὴν ῥητορικὴν παρήχησιν, ἥτις ταὐτογραφουμένη, διαφορὰν ἔχει κατὰ τὴν ἐκφώνησιν. Ἔςι δὲ καὶ ἄλλο ξενίζον παρηχήσεως εἶδος, ᾧ χρῆται καὶ ὁ Ποιητής· καὶ κεῖνται τούτου ἱκανὰ παραδείγματα ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν. Ἔςι δὲ τοιοῦτον, ὅταν καὶ παρηχῇ τις ἐν ἀνομοιότητι γραφῆς φωνηέντων, ὁμοίως τοῖς πρὸ τούτου· καὶ τὴν ταὐτοφωνίαν δέ πως ἀλλοιοῖ· καθ' ὃ καὶ ἠναντίωται τοῦτο τοῖς πρὸ αὐτοῦ τῷ παντελῶς ταὐτοφώνῳ. Οἷον, σκύλλη κοίλης ἐκ νηός· καὶ Ἐπειὸς ἐποίησε σὺν Ἀθήνῃ· καὶ φίλησε δὲ φῦλον ἀοιδῶν· καὶ Ἀῤῥιανὸς, φῦναι Φινέα· καὶ Ἡσίοδος, Φυλέα φίλον μακάρεσσι θεοῖσι· καὶ Εὐριπίδης ἐλελίζει αἴλινον, καὶ ὅσα ἄλλα ὅμοια (3)... Ἡ γοῦν κωμῳδία τοιαῦτά τινα διθυραμβώδη ἐποίει, ἐν μιᾷ λέξει ἀναγκάζουσα γραφὰς διαφόρους νοεῖν. Οἷον ὅτε εἴπῃ, ὅτι ὁ Ζεὺς λήροις τοὺς νικῶντας ἀναδῶν ςεφανοῖ. Τὸ γὰρ λήροις λέγεται μὲν, ὡς τῶν νικώντων ἐν Ὀλυμπίοις φλυάρῳ καὶ καινῷ κόμπῳ θελγομένων· βούλεται δὲ λέγειν καὶ ὅτι λειρίοις,

(2) Σημειωτέον ὡς ἔν τισι τοῦ Θεοκρίτου ἐκδόσεσιν οὕτω ταῦτα ἀναγινώσκεται.

» Σιμμιχίδα, κἠγὼν μὲν ὄρη φίλος, εἴ τι ἀρέσκει
» Τοῦθ' ὅ, τι πρὰν ἐν ὄρει τὸ μελύδριον ἐξεπόνασα.

(3) Κἀνταῦθα νοητέον τὴν τῆς φωνῆς διαφορὰν ἐν ταῖς ληκτικαῖς συλλαβαῖς· οἷον ἐπὶ τοῦ, σκύλλη κοίλης, ἐν τῷ λη καὶ λης. κ. τ. λ.

Ἴριδος per totidem ι scripti, altera alteris proxima per talem parechesin, omnino quidem idem sonantem, sed dissimili sententia et scriptura. Dicit enim, Ἶρι θεά, τίς γάρ σε προέηκεν; Ἥρη με προέηκεν. Illud quoque est hujus generis, οὐκ ὀφθήσῃ κενὸς ἐναντίον μου, ἀλλ' ἄλλον τρόπον καινός. Nam hic κενὸς et καινὸς sunt eadem sono per omnia simili; præterquam quod prius scribitur per ε, posterius vero scripturam assumserat per diphthongum. Est quoque illud simile apud Theocritum: Ὄρη φίλε, ὁ μελύδριον ὥρῃ ἐξεπόναξα (2); id est ὅρα τὸ μελύδριον, ὁ καθ' ὥραν ἐπονήσαμεν. Illud etiam proverbii speciem præbens, ζεῖ χρύτρα, ζῇ φιλία. Atque hoc genus parechesis eundem plane sonum habet, ac differt sola scriptura; quod rhetoricæ parechesi contrarium est; quæ iisdem literis scripta, differt pronunciatione. Est præterea aliud peregrinum parechesis genus, quo Poëta etiam utitur; hujusque idonea exempla super Odysseam apponuntur. Est autem hujus modi cum aliquis non in simili scriptura vocalium parechesi utitur, non secus atque in superioribus, sed similitudinem soni quodammodo etiam immutat. Qua ratione hoc opponitur illi sono prorsus simili, qui ipsum præcessit; quale est σκύλλη κοίλης ἐκ νηὸς, et Ἐπειὸς ἐποίησε σὺν Ἀθήνῃ, et φίλησε δὲ φῦλον ἀοιδῶν; et hoc Arriani φῦναι Φινέα; et istud Hesiodi Φυλέα φίλον μακάρεσσι θεοῖσι; et Euripidis, ἐλελίζει αἴλινον, et alia quæcunque sunt similia (3)... Comœdia quidem certa ejusmodi dithyrambica faciebat, in una dictione scripturas varias intelligere cogens; dum nempe dicit quod ὁ Ζεὺς λήροις τοὺς νικῶντας ἀναδῶν στεφανοῖ. Nam λήροις dicitur, quasi quia victores in olympicis certaminibus fictili et vano plausu deliniuntur; vult autem dicere quod λειρίοις, videlicet ἄνθεσι, victores coronet. Idem facit

(2) Notandum quod in quibusdam Theocriti editionibus sic hæcce leguntur.

» Σιμμιχίδα, κήγὼν μὲν ὄρη φίλος, εἴ τι ἀρέσκει
» Τοῦθ' ὅ, τι πρὰν ἐν ὄρει τὸ μελύδριον ἐξεπόναξα.

(3) Hic etiam vocis differentia in ultimis syllabis intelligenda est; ut super σκύλλη, κοίλης, in λη et λης, etc.

ἤγουν ἄνθεσι, τοὺς νικῶντας ἀναδεῖ. Τὸ αὐτὸ ποιεῖ καὶ ὁ Κωμικὸς καὶ ὅτε κηρύλου μεμνημένος τοῦ ζώου, ὅπερ τὴν διὰ τοῦ η ἔχει γραφὴν, ἀποσκώπτει εἰς κουρέα τινα Κηρύλον, ἐκεῖνον θέλων νοεῖσθαι, ὡς ἀπὸ τοῦ κείρω τὸ κουρεύω, ὅπερ διὰ διφθόγγου γράφεται. . . . Ταῦτα δὲ παίγνια κωμικὰ, κατά τινα δῆθεν ὁμωνυμίαν, οὐ μὴν παρηχήσεις. Ἡ γὰρ παρήχησις οὐ μιᾷ μόνῃ λέξει ἐμπεριέχεται, ἀλλ' ἐν δυσὶ τοὐλάχιστον. Ἔστιν οὖν ὅλως τοιαύτη ἡ τῶν ῥηθεισῶν παρηχήσεων θεωρία. Ἡ παρήχησις ἢ διαφορὰν μὲν ἔχει τινὰ ἐν λέξεων προφορᾷ, ταὐτότητα δὲ ἐν γραφῇ· καὶ ταύτην διχῶς. Ἢ γὰρ ὀρθῶς κειμένων τῶν παρηχουσῶν λέξεων, ἢ ἀνεστραμμένως· ὀρθῶς μὲν ἐν τῷ, Εὐπείθει πίθοντο, καὶ τοῖς ὁμοίοις· ὃ δὴ μόνον κυριωτάτη ἐστὶ παρήχησις· ἀνεστραμμένως δὲ, οἷον, τὸ μῦθος καὶ θυμός· καὶ τὸ βαλὼν καὶ λαβὼν, καὶ τὰ τοιαῦτα. Ἡ ἀνάπαλιν, ταὐτότητα μὲν ἔχει περὶ λέξεων προφορὰν, διαφορὰν δὲ ἐν τῇ τῶν φωνηέντων γραφῇ· οἷον τὸ, ἔδδεισαν, οὐδέ τ' ἔδησαν. Πολλάκις δὲ καὶ ἀμφότερα, ἤγουν διαφορὰν καὶ φωνῆς καὶ γραφῆς· ὡς τὸ, Φυλέα φίλον μακάρεσσι θεοῖσι (4)· καὶ εἴδωλον δ' ἑτέρωθεν ἑταίρου πόλλ' ἀγόρευε (5)· καὶ ἥλῳ γὰρ ἧλος « (6) (Ἰδὲ καὶ σ. 335). Καὶ αὖθις (αὐτ. σ. 456). » Καὶ Ἥρη μὲν περὶ τοὺς καὶ ἀλλαχοῦ κειμένους χρυσάμπυκας ἵππους, Ἥβη δὲ περὶ τὸ ἅρμα πονεῖται· ἔνθα ἑνὸς στίχου πρόκειται τὸ Ἥρη, ἑτέρου δὲ τὸ Ἥβη· ὅπερ ἔχει τι κάλλος, διὰ τὸ ἰσοφωνεῖν παρὰ γράμμα ἓν τὴν Ἥβην καὶ τὴν Ἥρην· καθάπερ ἴσως καὶ τὸ, ἤτοι χρυσέη ἴτυς, διὰ τὴν ἐν αὐτῷ ψευδοπαρήχησιν τοῦ ἤτοι καὶ τοῦ ἴτυς. Καὶ ἐν Παρεκβ. Ὀδυσ. σ. 362. « Ἐμφανῶς δὲ λόγος ἐπὶ λόγῳ, καὶ λαβύρινθος ἐμφαίνεται, ὃν ὕστερον οἱ Σχετικοὶ ἐπετηδεύσαντο ἐν τῷ, Αἰγεῖ συνοικήσουσαν τῷ Πανδίωνος, ὃ γραφὲν μὲν περὶ τοῦ ἥρωος Αἰγέως ἐν δυσὶ διφθόγγοις, ἡ σοφὴ ἑταίρα Θαῒς διὰ τῆς αι, καὶ τοῦ ι ἐξέθετο, ὡς ἀπὸ τοῦ αἶξ, αἰγὸς, αἰγί. Γράσωνος γάρ τινος παρωνομάσθαι δοκοῦντος ἀπὸ γράσου, ὃς δηλοῖ τὴν τῶν αἰγῶν ὀσμήν· ἐπεὶ

(4) Ἡ διαφορά τῆς φωνῆς ἐν τῷ λε, καὶ λον.

(5) Ἡ διαφορὰ ἐν τῷ ρω, καὶ ρου.

(6) Ἡ διαφορὰ ἐν τῷ λω, καὶ λος.

Comicus, et quum κηρύλου animalis mentionem faciens, quod per η scribitur, dicteria jaciat in quendam tonsorem Κηρύλον, illum volens intelligi; tanquam a κείρω (tondeo), quod per diphthongum scribitur... Sed hæcce comica ludicra sunt, per quandam homonymiam facta; non tamen sunt parecheses. Nam parechesis non comprehenditur una sola dictione, sed minimum duabus. Denique consideratio dictarum agnominationum est hujusmodi. Parechesis aut differentiam quandam habet in pronunciatione dictionum, sed similitudinem in scriptura, eamque duplicem. Aut enim recte propositis dictionibus, quæ parechesin faciunt, aut inverse; recte quidem in hoc, Εὐπείθει πείθοντο, et similibus; quod quidem certe parechesis genus omnium est præcipue maximum; inverse autem, qualia sunt, μῦθος, θυμὸς, et βαλὼν et λαβὼν, et similia. Vel vice versa, similitudinem habet in pronunciatione dictionum, sed differentiam in scriptura vocalium; quale est illud, ἔδδεισαν, οὐδὲ τ' ἔδησαν. Sæpe autem utrumque habet, nempe differentiam et vocis et scripturæ; ut illud, Φυλέα φίλον μακάρεσσι θεοῖσι (4); et εἴδωλον δ' ἑτέρωθεν ἑταίρου πόλλ' ἀγόρευε (5); et ἤλῳ γὰρ ἧλος» (6). (Vide et p. 335.). Iterum (ib. p. 456.) » Et Ἥρη quidem circa aureas habenas habentes equos, qui etiam alibi dicti sunt, Ἥρη vero circa currum laborat; ubi ante unum versum ponitur Ἥρη, ante alterum vero Ἥβη; quod aliquid pulchritudinis habet; quia præter unam literam similis soni sunt Ἥρη et Ἥβη; sicut forte similis soni est etiam, ἤτοι χρυσέη ἴτυς, ob contentam in hoc pseudoparechesin ἤτοι et ἴτυς.» Et in Parecbol. Odysseæ p. 362. » Manifeste autem sermo super sermonem et labyrinthus videtur; quem posteriores Schetici ex industria in hoc fecerunt, Αἰγεῖ συνοικήσουσαν τῷ Πανδίωνος. Quod cum per duas diphthongos de Heroë Αἰγεῖ scriptum esset, erudita meretrix Thais per diphthongum αι et ι exposuit, tanquam ab αἴξ, αἰγὸς, αἰγὶ proveniret. Nam cum

(4) Differentia vocis in λε, et λον. (6) Differentia in λε, et λος.

(5) Differentia in ρω, et ρευ.

πρὸς αὐτὸν πορευομένην, ἤρετό τις ποῦ ἄπεισιν, ἔφη, Αἰγὶ (7) συνοικήσουσα τῷ Πανδίωνος, οἷον τῷ οἱονεὶ αἰγιδίῳ Γράσωνι, διὰ τὸν γράσον, οὗπέρ ἐςι παρώνυμος. Καὶ τοῦτο μὲν προφανῶς νενοηματίςαι κατὰ ὁμωνυμίαν παρηχητικὴν δύο πτώσεων δοτικῶν, ἤτοι τοῦ Αἰγεῖ ἡρωϊκῶς, καὶ τοῦ Αἰγὶ ζωϊκῶς.» Καὶ αὖθις (αὐτ. σ. 366). « Ὅτι τὸ κύκλωψ δὲ ςενάχων τε καὶ ὠδίνων ὀδύναισι παρήχησίν τινα παραλαλεῖ καινοτέραν, οὐ σπουδασθεῖσαν ἴσως, ἀλλ' εἰκῆ, καὶ οὐκ ἐκ περιέργου παραπεσοῦσαν, διὰ τὸ τῶν ὁμοιοφώνων λέξεων καίριον· ὥσπερ καὶ παρὰ Ἱμερίῳ ἔχει τὸ, κοιμίζει δὲ δῆμον κυμαίνοντα· ὅπερ ὁμοίως ἔχει τῷ· κοίμησε δὲ κύματα δαίμων· καὶ, Φυλέα φίλον μακάρεσσι θεοῖσι καὶ ἔκειτο ἐν φύλλοις φίλον τετιημένος ἦτορ. »

Περὶ τῆς τῶν Κυρίων Διφθόγγων Ἐκφωνήσεως.

Περὶ τῆς αι.

§. λα'. Ἡ αι συνηρημένως ὡς ε μακρὸν ἐκφωνεῖται· νέφος δ' ἀρχαίων μαρτύρων ἐπισφραγιζόντων τουτὶ ἡμῖν ἀναφαίνεται. Οἷον Καλλίμαχος·

» Λυσανίη, σὺ δὲ ναίχι καλὸς καλός· ἀλλὰ πρὶν εἰπεῖν

» Τό δε (ἴσ. ὧδε, σαφῶς, ἠχὼ φησί τις, ἄλλος ἔχει (1).

Καὶ Πλούταρχος· « Αὐτῶν δὲ τούτων (τῶν διχρόνων) πάλιν ἡγεμονικωτάτην ἔχει τάξιν τὸ προτάττεσθαι τῶν ἄλλων δυοῖν, ὑποτάττεσθαι δὲ μηδετέρῳ πεφυκός· οἷόν ἐςι τὸ ἄλφα. Τουτὶ γὰρ οὔτε τοῦ ἰῶτα δεύτερον, οὔτε τοῦ υ ταττόμενον, ἐθέλει ὁμαλογεῖν καὶ ὁμοπαθεῖν, ὥςε συλλαβὴν μίαν ἐξ ἀμφοῖν γενέσθαι· ἀλλ' ὥσπερ ἀγανακτοῦν καὶ ἀποπηδῶν, ἰδίαν ἀρχὴν ζητεῖν· ἐκείνων δὲ ὁποτέρου βούλει προταττόμενον, ἀκολουθοῦντι καὶ συμφωνοῦντι χρῆσθαι, καὶ συλλαβὰς ὀνομάτων ποιεῖν· ὥσπερ τοῦ αὔριον, καὶ τοῦ αὐλεῖν, καὶ τοῦ Αἴαντος, καὶ τοῦ αἰδεῖσθαι, καὶ μυρίων ἄλλων (2). Ἐνταῦθα οὖν Πλούταρχος

(7) Ἡ τῆς ἐκφωνήσεως τοῦ αἰγὶ καὶ Αἰγεῖ διαφορά, δι' ἣν ταῦτα οἱ ἀκούσαντες ἀλλήλων διέκριναν, ἐν τούτῳ ἔκειτο, ὅτι τὸ μὲν ι βραχέως, ἡ δὲ ει μακρῶς, καὶ φωνῆς περικλάσει, διὰ τὴν περισπωμένην, ἐξεφέρετο.

(1) Ἐπιγράμ. λ'. ἐν Λουγδ. τῆς Βαταυ. Τ. δύο. 1761. Ἰδὲ αὐτ. καὶ τὰ τοῦ Σχολιαςοῦ.

(2) Συμποσ. Προβλ. Β. Θ'. προβλ. γ'.

ad Grasonem quendam, qui a γράσω, odorem caprarum significante, sic appellatus esse videtur, Thaidem pergentem interrogaret aliquis, quo pergat; respondit illa, Αἰγὶ (7) συνοικήσουσα τῷ Πανδίωνος, id est Γράσωνι, qui propter γράσον, cujus denominationem habet, quasi αἰγίδιον est. Ac hoc manifeste lusus sensus est, juxta parecheticam duorum casuum cognominationem, Αἰγεῖ nempe Heroëm, et αἰγὶ animal significantium.» Item (ib. p. 366): «Quod Κύκλωψ δὲ στενάχων τε καὶ ὠδίνων ὀδύναισι parechesin quandam novam exponat, forte non ex industria factam, sed simpliciter ac per se fortuito occurrentem, propter consonarum dictionum opportunitatem; quale et apud Himerium hoc est: κοιμίζει δὲ δῆμον κυμαίνοντα; quod simile est huic: κοίμησε δὲ κύματα δαίμων, et Φυλέα φίλον μακάρεσσι θεοῖσι, et ἔκειτο ἐν φύλλοις φίλον τετιημένος ἦτορ.»

## De propriarum Diphthongorum Pronunciatione.

### De αι.

§. 91. Αι indivise, ut longum ε, profertur; ad quod confirmandum agmen priscorum testium habemus. Ex quibus est Callimachus.

» Λυσανίη, σὺ δὲ ναίχι καλὸς καλός· ἀλλὰ πρὶν εἰπεῖν

» Τόδε (fort. ὧδε) σαφῶς ἠχὼ φησί τις, ἄλλος ἔχει (1).

Et Plutarchus.» Rursus ex his ancipitibus unum supremum ordinem tenet, quod duobus cæteris præponitur, neutrique vero postponitur; quale nempe ἄλφα est. Id enim neque post ἰῶτα, neque post υ ψιλὸν collatum, in unam cum illis coïre vult syllabam; sed veluti indignans resilit, suumque quærit primordium. Istorum utri ἄλφα præposueris, consonabunt, unamque suo obsequio facient syllabam; ut in αὔριον, αὐλεῖν, Αἴαντος, αἰδεῖσθαι, ac innumeris aliis (2)». In hisce igitur Plutarchus per συλλαβὰς ὀνομάτων ποιεῖν indivisam αι et αυ pronunciationem

(7) Prolationis αἰγὶ et Αἰγεῖ differentia, ob quam qui hæc audiere, ab invicem distinxerunt, in hoc posita est, quod ι brevius; ει vero longius, et cum confractione vocis, propter circumflexum, proferebatur.

(1) Epigramm. 30. Lugd. Batav. T. II. 1761. Vide ib. et verba Scholiastæ.

(2) Quæst. Conviv. L. IX. Quæst. 3.

διὰ τοῦ, συλλαβὰς ὀνομάτων ποιεῖν, τὴν ἐν συναιρέσει τῆς αι καὶ αυ σημαίνει ἐκφώνησιν· ἄλλως γὰρ καὶ τὸ ι, καὶ υ τοῦ α προταττόμενα, συλλαβὰς ποιοῦσιν, ὡς ἐν τῷ ἴασις, καὶ ὕαλος· οὐ μέντοι γε τοιαύτας οἵας ἐν συναιρέσει προφέρεσθαι.

§. ϟβ'. Καὶ Θέων ὁ Σοφιστής. » Ἀσαφῆ δὲ τὴν ἑρμηνείαν ποιεῖ καὶ ἡ λεγομένη ἀμφιβολία πρὸς τῶν Διαλεκτικῶν, παρὰ τὴν κοινὴν τοῦ ἀδιαιρέτου τε καὶ διῃρημένου· ὡς ἐν τῷ, Αὐλητρὶς πεσοῦσα δημοσίᾳ ἔξω. Ἓν μὲν γάρ ἐστι τὸ ὑφ' ἓν καὶ ἀδιαίρετον, αὐλητρὶς ἔξω πεσοῦσα δημοσίᾳ· ἕτερον δὲ τὸ διῃρημένον, αὐλη τρὶς παῖς οὖσα, ἔξω δημοσίᾳ » (1). Εἰ γὰρ ἡ αι οὐχ ὁμοφώνως τῷ ε προὐφέρετο, τίς ἂν εἴη ἐν ταῖς λέξεσιν ἡ ἀμφιβολία (2);

§. ϟγ'. Αὐτὸ δὲ τοῦτο καὶ Ἄρειος, οἷς πρὸς τοὺς Πατέρας τῆς ά. οἰκουμενικῆς Συνόδου ἔλεγεν, ἀποδείκνυσιν. Ἐπεὶ γὰρ τὸ ὁμοούσιος οὐκ ἐβούλετο ἀποδέχεσθαι· τοῦτο ποιεῖν ἔλεγε, τῷ Ἀποστόλῳ Παύλῳ ἑπόμενος, ἐκτρέπεσθαι τὰς βεβήλους κενοφωνίας, καὶ τὰς βεβήλους κενοφωνίας περιΐστασθαι παραινοῦντι. Ἐν ἑκατέρῳ γὰρ τῶν τοῦ Ἀποστόλου χωρίων τὸ κενοφωνίας διὰ τοῦ ε γράφεται· ὁ δὲ τοῦτο, ὡς δῆθεν διὰ τῆς αι γραφόμενον, ἐξελάμβανεν (1). Ὅπερ οὐκ ἂν εἶχε ποιῆσαι, εἰ καὶ τότε τῷ ε ἡ αι μὴ ἦν ὁμόφωνος.

§. ϟδ'. Καὶ ὁ Ἀνώνυμος. » Τέσσαρές εἰσιν ἀκολουθίαι τῶν ἀντιστοίχων· ἡ διὰ τοῦ ο μικροῦ, ᾗ ἀντίκειται ἡ διὰ τοῦ ω μεγάλου· ἡ διὰ τοῦ ε ψιλοῦ, ᾗ ἀντίκειται ἡ διὰ τῆς αι διφθόγγου· ἡ διὰ τοῦ ι, ᾗ ἀντίκειται ἡ διὰ τοῦ η, ἣ καὶ ἡ διὰ τῆς ει διφθόγγου· καὶ ἡ διὰ τοῦ υ, ᾗ ἀντίκειται ἡ διὰ τῆς οι διφθόγγου » (§. μγ'. καὶ ξδ'.) (1).

(1) Περὶ Διηγήματος.

(2) Οἱ ἐναντίοι φασὶν ὡς ἡ διαίρεσις οὐκ ἐν τῷ πεσοῦσα, παῖς οὖσα, ἀλλ' ἐν τῷ αὐλητρὶς, αὐλη τρὶς ὀφείλει νοεῖσθαι. Ἔστι μὲν οὖν καὶ ἐν τῷ αὐλητρὶς τὴν διαίρεσιν ἐκλαβεῖν, ὡς καὶ παρὰ Δ. Λαερτίῳ ἐστὶν (ἐν βίῳ Ζήν.)· αὐλητρὶς πέπτωκε, καὶ αὐλὴ τρὶς πέπτωκεν. Ἐνταῦθα μέντοι ὁ Θέων τὴν διαίρεσιν ἐν τῷ πεσοῦσα, καὶ παῖς οὖσα νοῶν φαίνεται· διὸ καὶ τὸ ἔξω μεταξὺ τοῦ αὐλητρὶς καὶ πεσοῦσα ἔταξε. Τὸ γὰρ ὀρθὸν τοῦ λόγου οὐ σώζεται, τῆς διαιρέσεως ἐν τῷ αὐλητρὶς, αὐλὴ τρὶς ἐκλειφθείσης, ἀλλ' ἔδει κατ' ἀνάγκην εἰπεῖν, αὐλὴ τρὶς πεσοῦσα ἔξω δημοσίᾳ.

(1) Ἐρ. Σμίθ. ἔνθ. ἀν. σ. 637.

(1) Παρὰ Καπερ. ἔνθ. ἀν. σ. 201.

intelligit. Nam alioquin, et ι, et υ literæ α præposita, syllabas faciunt, ut in ἴασις, et ὕαλος; non autem tales, ut indivise proferi valeant.

§. 92. Et Theo Sophista. » Incertam autem elocutionem facit, et quod ἀμφιβολία a Dialecticis dicitur, præter communem illam divisum ac indivisum comprehendentem; ut in hoc: Αὐλητρὶς πεσοῦσα δημοσία ἔστω. Unum enim est ὑφ' ἓν ac indivisum, αὐλητρὶς ἔστω πεσοῦσα δημοσία; alterum vero divisum, αὐλὴ τρὶς παῖς οὖσα, ἔστω δημοσία » (1). Si enim αι non simili modo cum ε pronunciaretur, quæ esset in his dictionibus ἀμφιβολία (2)?

§. 93. Idem et Arius verbis, quæ coram primi universalis Consilii Patribus faciebat, demonstrat. Cum enim vocabulum ὁμοούσιος admittere nollet: hoc facere dicebat, ut Apostolum Paulum sequatur, ἐκτρέπεσθαι τὰς βεβήλους κενοφωνίας, et τὰς βεβήλους κενοφωνίας περιΐστασθαι admonentem. Nam in utroque Apostoli loco vocabulum κενοφωνίας per ε scribitur; ille autem hoc, veluti per αι scriptum esset, intelligebat (1). Quod facere non par esset, si et tunc αι et ε non eodem modo proferentur.

§. 94. Et Anonymus. » Quatuor sunt antistichorum consequentiæ. Illa quæ per ο fit; cui illa, quæ per ω scribitur, respondet; illa quæ per ε, cui quæ per αι respondet; illa quæ per ι, cui quæ per η, vel et quæ per ει diphthongum, respondet; et illa quæ per υ, cui quæ per οι diphthongum, respondet (§. 43 et 64.) (1).

(1) De Narratione.

(2) Adversarii dicunt quod divisio non in πεσοῦσα, παῖς οὖσα, sed in αὐλητρὶς, αὐλὴ τρὶς intelligi debeat. Potest quidem divisio et in αὐλητρὶς admitti; sicut et apud Diog. Laërtium est (in vita Zen.); αὐλητρὶς πέπτωκε, et αὐλὴ τρὶς πέπτωκεν. Hic vero in πεσοῦσα, παῖς οὖσα divisionem intelligere Theo videtur; ideo et ἔστω inter αὐλητρὶς et πεσοῦσα posuit. Rectum enim sermonis non conservatur, divisione in αὐλητρὶς, αὐλὴ τρὶς accepta; sed necessario deberet dicere, αὐλὴ τρὶς πεσοῦσα ἔστω δημοσία.

(1) Er. Schmidt. l. c. p. 637.

(1) Apud Caperronier. l. c. p. 201.

§. λε'. Καὶ Μιχαὴλ Γλυκᾶς. » Τότε Νικήτας τις εὐνοῦχος, τὰ πρῶτα φέρων παρὰ τῷ Κοπρωνύμῳ, μηδὲν ἄλλο εἰδὼς, ἢ ἐσθίειν καὶ πίνειν, χειροτονεῖται Πατριάρχης. Οὗτος ποτὲ τὸ Εὐαγγέλιον ἀναγινώσκων ἐν τῷ κελλίῳ αὐτοῦ, ἀντὶ τοῦ εἰπεῖν ἐκ τοῦ κατὰ Ματθαῖον, ἐκ τοῦ κατὰ Ματθάϊον ἐξεφώνησεν. Ἐφ' ᾧ καί τις τῶν παριςαμένων εἶπε· μὴ διαίρει τὴν δίφθογγον· πρὸς ὃν ἐκεῖνος ἔφη μετὰ θυμοῦ, φλυαρεῖς· τὰ γὰρ δίφθογγα καὶ τρίφθογγα πολλὰ μισεῖ ἡ ψυχή μου (1).

§. λϛ'. Καὶ Εὐςάθιος, τὸ κενὸς καὶ καινός· καὶ παιδὶ καὶ καὶ ἔμπεδα· καὶ ἑτέρωθεν ἑταίρου· καὶ ἑλελίζει αἴλινον (§. λ'.) καὶ αἱ ἄλλαι ἀολλέες (1) παρηχεῖν λέγων· Οἷον καὶ τὸ, αἰμ' ἐμέων, ἐςί· καὶ τὸ τοῦ Παλλαδᾶ·

» Οὐκ ἐθέλω Δόμινε, οὐ γὰρ ἔχω δόμεναι.

§. λζ'. Καὶ Λατίνων δὲ οἱ ἀρχαιότεροι, ὡς φησὶν Αὖλος Γέλλιος (1), τὸ fenus ἐκ τοῦ φαίνεσθαι παράγεσθαι οἰόμενοι, διὰ τῆς ae ἔγραφον. Τοῦτο μὲν οὖν ἡμάρτητο, δέον διὰ τοῦ e γράφεσθαι· ἀλλ' οὐχ ἧττον ἀποδείκνυσιν ὡς ἡ ae καὶ αι τῷ ε ἦν ὁμόφωνος. Προσμαρτυρεῖ δὲ τῷ λόγῳ, καὶ ὅσα ἐκ τῆς Ἑλληνικῆς παραγόμενα, πάλαι μὲν ἴσως διὰ τῆς ai, ἢ ae, νῦν δὲ διὰ τοῦ e ἐν τῇ Λατινικῇ γράφονται· οἷον καὶ τὸ peto, ἐκ τοῦ αἰτῶ ὡς ἔοικε τὴν ἀρχὴν ἕλκον, ἐςί. Διὰ τοῦτο καὶ Διοσκουρίδης τὸ præcocia πραικόκια ἐξέθετο· ὃ δὴ καὶ Τερεντιανὸς ἐν τοῖς ἑξῆς βεβαιοῖ. » Τὸ a καὶ e τὸν αὐτὸν ἦχον παρ' ἡμῖν μιμοῦνται, ὃν τὸ ἄλφα καὶ ἰῶτα τοῖς Ἕλλησι παρέχουσιν· οὕτω γὰρ ἡμεῖς γράφομεν (2).

§. λη'. Ὁ δὲ Μεκέρχος, παρ' Ἐράσμου καὶ τοῦτο, ὡς καὶ πολλὰ ἄλλα λαβὼν, φησίν. Εἴπερ οἱ Γερμανοὶ τὸ Καῖσαρ Kaiser διῃρημένως ἐκφωνοῦσι· τί τὸ κωλύον ἐςὶ καὶ ἐν τῇ Ἑλληνικῇ τὴν αι διῃρημένως προφέρεσθαι (1); Πρὸς ὃν, ἀλλοτρίῳ ἐπίσης ὑποδείγματι χρώμενος, ὑπαντῶ· εἴ περ οἱ Γάλλοι τὴν ai δίφθογγον ἐν μυρίαις λέξεσιν ὡς e ἐκφωνοῦσι, τί τὸ κωλύον τὴν αι ἀδιαιρέτως κἂν τῇ Ἑλληνικῇ ἡμᾶς ἐκφωνεῖν (§. μη'.); (2)

(1) Χρονικ. Μέρ. Δ'. σ. 284.
(1) Παρεκβ. Ὀδυσ. σ. 307.
(1) ἐν Νυξ. Ἀττικ. Β. ϛ'. κ. ιϛ'.
(2) Παρὰ Χέκ. ἔνθ. ἀν. σ. 302.
(1) Ἔνθ. ἀν. σ. 129.
(2) Ἡ Δωρὶς διάλεκτος τὴν Ἡ-

§. 95. Et Michaël Glycas. » Tunc Nicetas quidam Eunuchus, principe apud Copronymum loco, qui nihil aliud sciebat, quam edere ac bibere, Patriarcha creatus est. Hicce quum aliquando Evangelium in cella sua recitaret: pro eo quod dicendum erat, ex Evangelio secundum Matthæum, pronunciaverat secundum Matthaium. De quo aliquis ex adstantibus dixit: noli αι diphthongum dividere; nugaris, dixit ille cum iracundia; nam diphthongos et triphthongos anima mea vehementer odit (1).

§. 96. Et Eustathius κενὸς et καινὸς, et παισὶ et ἔμπεδα, et ἑτέρωθεν ἑταίρου, et ἐλελίζει αἴλινον (§. 90.), et αἱ ἄλλαι ἀολλέες (1) parechesin facere dicens. Quale etiam sequens est, αἷμ' ἐμέων; et hoc Poëtæ Palladæ.

« Οὐκ ἐθέλω Δόμινε, οὐ γάρ ἔχω δόμεναι.

§. 97. Latini etiam prisci, Aulo Gellio teste (1), *fenus* a φαίνεσθαι derivari putantes, per *ae* scribebant. Hoc quidem vitiosum erat; siquidem deberent hoc per *e* scribere; demonstrat tamen non minus *ae* et αι consonas *e* fuisse. De hoc vero testantur et illa, quæ a lingua græca derivata, olim quidem forsan per *ai* vel *ae* scribebantur; nunc vero in iisdem litera *e* in latino sermone utuntur; quale et *peto*, ab αἰτῶ, ut videtur, initium trahens, est. Qua ex re et Dioscurides præcocia πραικόκια dixit; quod et Terentianus in sequentibus affirmat,

» Ἄλφα semper et ἰῶτα quem parant Græcis sonum,
» A et e nobis imitant; sic enim nos scribimus (2).

§. 98. Mekerchus autem, qui et hoc, sicut multa alia, ab Erasmo depromserat, dicit. Si Germani Καῖσαρ Kaiser divisim pronunciant, quid obstat etiam in lingua græca αι divisim proferi (1)? Cui, alieno pariter exemplo utens, respondeo; si Galli ai diphthongum in sexcentis dictionibus sicut *e* proferunt, quid obstat indivise αι etiam in græco sermone pronunciari (§. 48.)? (2)

(1) Annal. Part. IV. p. 284.
(1) Parecbol. Odys. p. 307.
(1) in Noct. Attic. L. VI. c. 12.
(2) Apud Checcum. l. c. p. 302.
(1) L. c. p. 129.
(2) Dorica dialectus femininam

## Περὶ τῆς αυ.

§. ϟθ'. Ἡ αυ οὐχ ὡς ἡ λατινικη **au** διῃρημένως, ἀλλ' ὡς αφ ἐκφωνεῖται. Ὃ δὴ, παρὰ τὰ ἐν γένει λεχθέντα, καὶ ἐκ τῶν εἰρημένων τοῦ Πλουτάρχου λόγων (§. ϟα'.) αὐτάρκως ἀποδέδεικται. Πρὸ δὲ τῶν συμφώνων γ, δ, λ, μ, ν, ρ· καὶ πρὸ τῶν φωνηέντων, ὧν ἡγεῖσθαι πέφυκεν, ἡ αυ οὖσα, τὴν τοῦ β ἐκφώνησιν ὕπεισι. Πίστις δὲ τούτου τὰ ἑξῆς ἔστω. » Ἰστέον δὲ... ὅτι Καλαβρία, οὐ διὰ τῆς αυ διφθόγγου, ἀλλὰ διὰ τοῦ β γράφουσιν οἱ ἀκριβεῖς »' (1) (§. λϛ'.). Τὸ γὰρ υ τῆς αυ καὶ ευ, ὡς Ἀθανασίῳ δοκεῖ (2), ἡ τῶν Αἰολέων δασεῖα, τὸ δίγαμμα δηλαδὴ, ἐστὶ, καὶ ὡς β πρὸ τῶν εἰρημένων στοιχείων ἐκφέρεται (3).

§. ρ'. Μαρτυρεῖ δὲ τούτοις καὶ Κικέρων. » Μάρκου Κράσσου εἰς Βρεντήσιον τὸν στρατὸν ἀγαγόντος, σῦκά τις ἐκ Καύνου ὄντα ἐν τῷ λιμένι πωλῶν **cavneas** (καύνεια δηλαδὴ σῦκα) ἐβόα. Φαίην ἂν ἔγωγε, εἰ δοκεῖ, τὸν Κράσσον ὑπ' ἐκείνου παροτρυνθῆναι μὴ ἀπέλθῃ προσέχειν (**cave ne eas**), μηδ' ἂν ἀπολωλέναι ἐκεῖνον, εἰ τῇ διοσημείᾳ ἐπείθετο. » (4). Ἐξ οὗ ἀποδείκνυται ὅτι ἡ

λύτητα φεύγουσα τοῦ η, τρέπειν αὐτῆς τὴν φύσιν· ὡς ἐς ἄῤῥεν τὸ α νενόμικεν' ἡ δ' Ἰὰς τὸ στερεὸν ὑποστελλομένη τοῦ α, καταφέρεται πρὸς τὸ η. Τὸ δὲ θῆλυ μὲν ἐστι κατὰ τὸ πλεῖστον, ὡς προείρηται, τὸ δὲ τὸν ὅμοιον τρόπον ἐπιφέροιεν, εἰ ἐκταθείη τῇ αι διφθόγγῳ, γραφομένη διὰ τοῦ α, ἐπ' ἐλάχιστον ἠῤῥένωται. Ἀριστείδ. ἔνθ. ἀν. Β. Β'. σ. 92. Τοῦτο τὸ χωρίον ἡμαρτημένον γε ὂν, Μεϊβώμιος οὕτως ἐπανορθοῖ. « Τοῦτο δὲ τὸ η θῆλύ μὲν ἔστι κατὰ τὸ πλεῖστον, ὡς προείρηται, τὸ δὲ ι τὸν ὅμοιον ἦχον ἐπιφέροιεν, εἰ ἐκταθείη » (σ. 298). Ἀλλ' ἐν πᾶσι τοῖς χειρογράφοις, ἃ ἐν τῇ Καισαρικῇ Βιβλιοθήκῃ τῇ ἐν Παρισίοις εἰσὶν, οὕτω ταῦτα ἀναγινώσκεται. « Τὸ δὲ ε θῆλύ μὲν ἐστι κατὰ τὸ πλεῖστον, ὡς προείρηται, τῷ δὲ τὸν ὅμοιον ἦχον ἐπιφαίνειν, εἰ ἐκταθείη, τῇ αι διφθόγγῳ, γραφομένη διὰ τῆς αι (ἔν τισι διὰ τοῦ α), ἐπ' ἐλάχιστον ἠῤῥένωται. » Ταῦτα οὖν ὀρθότερά μοι δοκοῦντα, τὴν αι ὁμόφωνον εἶναι τῷ ε ἀποδείκνυσιν. Ὁ δὲ Μεϊβώμιος μικροῦ πρόσθεν τὸ η ὁμόφωνον τῷ ε εἶναι ἀποφαινόμενος, ἐν τοῖς ὕστερον ὁμόφωνον ἐκεῖνο εἶναι τῷ ι οἷς λέγει ἀποδείκνυσιν, αὐτὸς ἑαυτῷ προφανῶς ἀντιφάσκων, καὶ διὰ τῶν ἑπομένων τὰ ἡγούμενα ἀναιρῶν, καὶ ἐναλλάξ.

(1) Εὐστάθ. Παρεκϐ. εἰς Διον. τὸν Περιηγ. σ. 55.

(2) Ἔνθ. ἀν. ϛ. 20.

(3) Ἐν πολλαῖς μὲν, ἀλλ' οὐκ ἐν γένει ἐν πάσαις ταῖς λέξεσι, τά γε μοι δοκοῦν, τὸ υ ἀντὶ τοῦ αἰολικοῦ διγάμματος ἐστί.

(1) Περὶ Προφητ. Β. Β'. κ. μ'.

### De αυ.

§. 99. Αυ non divisim, ut latina *au*, sed ut *af* pronunciatur; quod quidem, præter generaliter dicta, etiam verbis antea citatis Plutarchi satis demonstratum est (§. 91.). Dum vero αυ ante consonantes γ, δ, λ, μ, ν, ρ, et ante vocales, quibus præponi potest, occurrit, literæ β prolationem induit; cujus demonstratio sequentia sunt. » Sciendum vero... quod Καλαβρία non per αυ diphthongum, sed per β exactiores scribunt » (1) (§. 32.). Nam αυ et ευ diphthongorum υ, ut Athanasio videtur (2), Æolensium δασεῖα, digamma nempe est (3), et ut β ante dicta elementa profertur.

§. 100. De his autem et Cicero testatur. » Quum Marcus Crassus exercitum Brundusii imponeret, quidam in portu caricas Cavno adductas vendens, *cavneas* clamitabat. Dicamus, si placet, monitum ab eo Crassum *caveret ne iret;* nec fuisse periturum, si omini paruisset (1). » Ex quo liquet quod

naturam ipsius ι fugiens, ipsius usum quasi in marem vertere, scilicet α, sancivit; contra ionica ipsius α soliditatem devitans, defertur ad ι. Hoc autem femininum est plerumque, ut prædiximus; hoc vero similem sonitum protulerit, at si diphthongo αι extendatur, per α scripta, paulum de masculina natura consequitur. Aristid. l. c. L. II. p. 92. Hic locus, certe vitiatus, sic a Meibomio emendatur. » Hoc autem ι femininum est plerumque, ut prædiximus; ι vero similem sonum protulerit, si extendatur » (p. 298.). At in omnibus manuscriptis, quæ in Bibliotheca Cæsarea Parisiensi sunt, ita hæc leguntur. » Ε autem femininum quidem est plerumque, ut prædiximus; cum vero, si extendatur, similem sonum cum αι diphthongo per αι (in nonnullis per α) scripta, efferat, paulum de masculina natura consequitur ». Hæc igitur rectiora mihi apparentia, αι consonam esse ι demonstrant. Meibomius vero, etsi paulo ante, ι eundem sonum habere cum ι dixerit: in sequentibus ejusdem soni illud esse cum ι suis verbis demonstrat; manifeste sibi contradicens, et sequentibus refutans præcedentia, et vice versa.

(1) Eustath. Parecb. ad Dion. Perieg. p. 55.

(2) L. c. p. 20.

(3) In multis quidem, sed non in omnibus dictionibus, ut mihi videtur, υ pro æolico digammate est.

(1) De Divinat. L. II. c. 40.

αυ ἀδιαιρέτως, καὶ ὡς β, κατὰ τὸ v λατινικὸν σύμφωνον, καὶ τότε ἐξεφωνεῖτο.

§. ρα'. Ἐπὶ πᾶσι δὲ Μεκέρχος, καὶ Χέκκος (1) καὶ διὰ τοῦτο τὴν αυ κατὰ τὴν λατινικὴν au ἐκφωνητέαν εἶναι φασίν, ὅτι Ἀριστοφάνης τὴν τῶν κυνῶν φωνὴν διὰ τοῦ ἂυ ἂυ ἐκτίθεται, οἳ δὴ οὐκ ἂφ ἂφ, ἀλλ' ἄου ἄου φωνοῦσιν. Ὡς ἐκ τῶν ζώων οὐδὲν ὀρθὸν περὶ τῆς ἀνθρωπίνης φωνῆς ἀνακύπτει συμπέρασμα, ἔφθημεν προειπόντες (§. κ'.). Οὐ μὴν ἀλλὰ καὶ μυρία εἰσι τὰ τῶν κυνῶν εἴδη καὶ ποικιλότητες, καὶ διαφόρους φωνὰς ἕκαστοι τῶν κυνῶν ἐν τῇ ὑλακῇ προΐεασι· καὶ οἱ μέν πως ἄου ἄου, οἱ δὲ ἂφ ἂφ, οἱ δὲ βὰϐ βὰϐ, οἱ δὲ βὲϐ βὲϐ, οἱ δὲ βὲφ βὲφ, οἱ δὲ βὶφ βὶφ, καὶ ἄλλοι ἄλλως ἠχοῦσιν. Ἔδει οὖν τοὺς σοφοὺς τούς δε Ἑλληνιστὰς πρῶτον προσδιορίσασθαι, εἰ Ἀριστοφάνης τὴν τῶν Λακωνικῶν, ἢ τῶν Μολοσσῶν, ἢ τῶν Ἀργείων, ἢ τῶν Μελιταίων, ἢ ἄλλου τινος εἴδους κυνῶν φωνὴν διὰ τοῦ ἂυ ἂυ σημαίνειν ἠϐούλετο, κᾆτα ἡμῖν τὸ γενναῖον τουτὶ παράδειγμα πρὸς ἐπικύρωσιν τῆς ἰδίας γνώμης προτεῖναι.

Περὶ τῆς ει.

§. ρβ'. Ἡ ει συνηρημένως ὡς ι μακρὸν ἐκφωνεῖται. Ὅτι δ' ἀληθὲς τοῦτο, λάϐοι ἄν τις ἐκ πολλῶν ἀρχαίων τὴν πίστιν. Αὐτίκα γὰρ ὁ ἱερὸς Πλάτων, οἷς φησίν, αὐτὸ τοῦτο ὑπαινίττεσθαί μοι δοκεῖ. » Τὸν οὖν ἄρχοντα τῆς δυνάμεως ταύτης θεὸν ὠνόμασε Ποσειδῶνα, ὡς ποσίδεσμον ὄντα, τὸ δὲ ε ἔγκειται ἴσως εὐπρεπείας ἕνεκα » (1). Καὶ Ἀριστοτέλης. » Τὰ δὲ παραγράμματα ποιεῖ οὐχ ὃ λέγει λέγειν, ἀλλ' ὃ μεταστέφει ὄνομα. Οἷον τὸ Θεοδώρου εἰς Νίκωνα τὸν κιθαρῳδόν, θράττει σε· προσποιεῖται γὰρ λέγειν τὸ θράττει σε, καὶ ἐξαπατᾷ, ἄλλο γὰρ λέγει (2). Διὸ μαθόντι ἡδύ· ἐπεὶ εἰ μὴ ὑπολαμϐάνει Θρᾷκα εἶναι, οὐ δόξει ἀστεῖον εἶναι » (3). Τοιοῦτόν ἐστι καὶ τὸ ἐν ταῖς Σχολαῖς ἡμῶν ἐν χρήσει ὂν προϐλημάτιον. » Εἰ ὠὰ νησσῶν φιλεῖς, πόσῳ μᾶλλον τὰ χηνῶν· » ὃ δύσληπτον τοῖς ἀπείροις δοκεῖ, τὸ μὲν εἰ ὠὰ νησσῶν ἀντὶ τοῦ Ἰωάννης ὄν, τὸ δὲ τὰ χηνῶν ἀντὶ τοῦ ταχινὸν ἐκλαμϐάνουσι. Καὶ τὸ τοῦ Κυνικοῦ Διογένους ἀστείως πρὸς τὸ μει-

(1) Ἐνθ. ἀν. σ. 137, καὶ 309.
(1) Ἐν Κρατύλ. σ. 265.
(2) Θράττησε ἐγέννησε δηλαδή.
(3) Ῥητορ Β. Γ'. κ. ιά.

tunc etiam αυ indivise, ac juxta latinam consonantem υ pronunciabatur.

§. 101. Denique Mekerchus et Checcus (1) vel ex eo αυ juxta latinam *au* pronunciandam esse putant; quoniam Aristophanes vocem canum per αὖ αὖ exponit; qui non *af af*, sed *au au* clamitant. Quod ex animalibus nihil recti de voce humana concludi possit, jam antea dictum est (§. 20.). Præterea innumeræ sunt canum species et varietates; et diversas voces singuli canes latrantes edunt; et alii quodammodo *au au*, alii *af af*, alii *bab bab*, alii *beb beb*, alii *bef bef*, alii *bif bif*, et alii aliter sonant. Deberent igitur hi eruditi Hellenistæ prius determinare, si Aristophanes canum Laconicorum, vel Molossorum, vel Argivorum, vel Melitæorum, vel alius cujusdam speciei vocem per αὖ αὖ exprimere vellet; et postea generosum hocce exemplum ad confirmandam suam ipsorum opinionem nobis proponere.

### De ει.

§. 102. Ει indivise ut ι longum pronunciatur. Quod vero hoc verum est, possumus ex multis veteribus confirmationem assumere. Divus enim Plato id ipsum in sequentibus subintelligere mihi videtur. » Maris itaque principem Ποσειδῶνα vocavit, quasi ποσίδεσμον ὄντα; ε vero fortasse decoris gratia adjectum fuit » (1). Et Aristoteles. » Annominationes autem præter literas faciunt ut dicant non quod dicunt, sed quod invertunt nomen. Ut illud Theodori ad Niconem citharodum, Θράττει σε; simulat enim dicere *conturbat te*, et decipit; aliud enim dicit (2). Quamobrem discenti jucundum; quoniam si non existimat Thracem esse, non videbitur urbanum esse» (3). Talis est et hæcce in nostris Scholis usitata propositiuncula. Εἰ ὠὰ νησσῶν φιλεῖς, πόσῳ μᾶλλον τὰ χηνῶν; quæ difficilis intellectu inexpertis apparet, εἰ ὠὰ νησσῶν quidem pro Ἰωάννης ὤν, τὰ χηνῶν vero pro ταχινὸν accipientibus. Et hoc Philosophi Cy-

(1) L. c. p. 137, et 309.
(1) In Cratyl. p. 265.
(2) Nempe Θράττ' εἶ genuit.
(3) Rhetor. L. III. c. 11.

κύλλιον τὸν ἱματιοκλέπτην ἐν βαλανείῳ ῥηθέν· » ἐπ' ἀλειμμάτιον, ἢ ἐπ' ἄλλ' ἱμάτιον » (4). ἄχαρις γὰρ ἂν ἦν ὁ λόγος, εἴπερ ἡ ἐν τῇ προτέρᾳ λέξει ει, μὴ ἦν τῷ ι τῷ ἐν τῇ δευτέρᾳ ὁμόφωνος.

§. ργ'. Καὶ Ἡρωδιανὸς ἐν τοῖς ἑξῆς.» Χέρηϊ, ὡς Ἄρηϊ· γέγονε δὲ οὕτως. Ἔστι τι χερείονος γενικῇ, καὶ αἰτιατικῇ· χερείονα περ καταπεφνών. Ὃν οὖν τρόπον τὴν χερείονα αἰτιατικὴν συγκόψας ἔφη· ἀλλὰ τὸν υἱὸν ἐγείνατο εἶο χέρεια· πληθυντικῶς δὲ τὰ χερείονα χέρεια· χέρεια δὲ χείρονι δόσκεν· τοῦτον τὸν τρόπον καὶ χερείονι χέρειϊ· καὶ ἐπεὶ κακόφωνον ἐστὶ, τροπὴ ἐγένετο τῆς ει διφθόγγου εἰς τὸ η » (1). Ἐκ τούτων οὖν τὸ ὁμόφωνον τῆς ει καὶ τοῦ ι ἀποδείκνυται· οὐ γὰρ ἂν ἄλλως τουτὶ κακόφωνον ἦν. οὐ μὴν ἀλλὰ καὶ ὅτι τὸ η οὐχ ὡς δύο προφέρεται ε· κακοφωνότερον γὰρ ἂν οὕτως ἀπέβη. Ἐθεραπεύθη δὲ τὰ τῆς κακοφωνίας διὰ τοῦ η, ὃ διαφόρως πως τοῦ ι, ὡς προείρηται (§. νθ'.), πάλαι ἐξεφωνεῖτο.

§. ρδ'. Καὶ Εὐστάθιος ἐν τοῖς παρηχεῖν εἰρημένοις (§. ϡ'.)· οἷον ἐν τῷ ὑπέδδεισαν ἔδησαν, πίθεσθε πείθεσθαι, ἤρει Ἥρη, ζεῖ ζῇ, λήροις λειρίοις, Κήρυλος κείρω, Αἰγεῖ αἰγί. Καὶ ἐν τοῖς ἑξῆς. » Ἔτι φίλον ἐστὶ, καὶ τὸ ἤτοι μέν με ἔασον ψευδοπαρήχησιν καὶ αὐτὰ ποιοῦσι τὴν καὶ προεγνωσμένην ἐν τῷ ἔδδεισαν, οὐδέ τ' ἔδησαν » (1)· καὶ πείθει τὸν Πειθίαν παρ' Ἑρμογένει (2). Καὶ αὖθις. » Περὶ δὲ τοῦ εἰλύω ἰστέον ὅτι ἐν λεξικῷ παλαιῷ κατὰ στοιχεῖον ἐκτεθειμένῳ φέρεται αὐτὸ ἐν τῷ ι στοιχείῳ οὕτως· ἰλύσσω τὸ περικαλύπτω ἰλύϊ. Ὡρμήθη δὲ ἴσως ἡ τοιαύτη γραφὴ ἐκ τοῦ δοκεῖν παρηχεῖν ἐν τοῖς ῥηθεῖσι τὸ ἰλύος καὶ τὸ εἰλύσσω, κἀντεῦθεν δόξαι ταὐτογραφεῖσθαι τὸ ἰλύειν καὶ τὴν ἰλύα » (3). Καὶ τὸ Νειλεὺς δὲ κατ' αὐτὸν φωνῆς μὲν κοινωνεῖ τῷ Νηλεῖ, γραφῆς δὲ οὔ (4). Καὶ τὸ μεῖνα δὲ, καὶ μῆνας παρηχεῖν ὁ αὐτὸς ἀλλαχοῦ φησί. Τοιοῦτόν ἐστι καὶ τὸ τοῦ Ἡσιόδου.

» Ὄρνιθας κρίνων, καὶ ὑπερβασίας ἀλεείνων.

(4) Δ. Λαέρτ. ἐν βίῳ Διογ.
(1) Ἐν σχολ. ἰλ. Α. στίχ. 80. ἔκδ. Villoison.
(1) Παρεκβ. ἰλ. σ. 1091.
(2) Περὶ Παρηχήσεως.
(3) Αὐτ. σ. 1326.
(4) Παρεκβ. Ὀδυσ. σ. 430.

nici Diogenis urbane adolescentulo vestimentorum furi in balneo dictum : ἐπ' ἀλειμμάτιον, ἢ ἐπ' ἀλλ' ἱμάτιον (4) ; nam injucundus sermo fuisset, si prioris vocabuli ει, literæ ι, quæ in posteriori est, consona non fuisset.

§. 103. Et Herodianus in sequentibus ; » Χέρηϊ, sicut Ἄρηϊ ; factum vero est sequenti modo. Est dictio quaedam χερείονος in genitivo ; et in accusativo χερείονά περ καταπεφνών. Quemadmodum igitur accusativum χερείονα, syncope facta, dixit, ἀλλὰ τὸν υἱὸν ἐγείνατο εἷο χέρεια ; pluraliter vero χερείονα χέρεια ; χέρεια δὲ χείρονι δόσκεν ; ad eundem modum et χερείονι χέρειϊ ; et quoniam hoc male sonat : mutata est ει diphthongus in η » (1). Ex his itaque ει et ι ejusdem soni esse demonstrantur ; nam secus hoc non fuisset absonum ; et quod etiam η non ut duo ε profertur ; sic enim magis absonus sermo evasisset. Emendata autem est cacophonia per η, cujus prolatio a prolatione ι aliquo modo, ut prædictum est (§. 59.), olim differebat.

§. 104. Et Eustathius in illis, quæ parechesin facere dixit (§. 90.) ; nempe in ὑπέδδεισαν ἴδησαν, πίθεσθε πείθεσθαι, ἤρει Ἥρη, ζεῖ ζῆ, λήροις λειρίοις, Κήρυλος κείρω, Αἰγεῖ αἰγί. Et in sequentibus : » Εἴτι φίλον ἐςίν, et ἤτοι μέν με ἔασον, et hæc pseudoparechesin faciunt, quæ jam in ὑπέδδεισαν, οὐδέ τ' ἴδησαν nota est » (1) ; et πείθει τὸν Πειθίαν apud Hermogenem (2). Iterum : » De εἰλύω sciendum est, quod in antiquo dictionario ordine alphabetico digesto invenitur hoc in litera ι sequenti modo : ἰλύσσω *limo obduco.* Fortasse vero hæc scriptura provenit ex eo, quod parechesin facere ἰλύος et εἰλύσσω in dictis videantur ; ex quo putarunt quod ἰλύειν et ἰλύα pari modo scribantur » (3). Porro, juxta ipsum, Νειλεὺς eandem prolationem, non vero et scripturam eandem cum Νηλεῖ habet (4). Et μεῖνα et μῆνας parechesin facere alibi idem asserit. Talis est et hic versus Hesiodi,

» Ὄρνιθας κρίνων, καὶ ὑπερβασίας ἀλεείνων.

(4) D. Laërt. in vita Diog.

(1) In Schol. Il. L. I. vers. 80. edit. de Villoison.

(1) Parech. Il. p. 1091.

(2) De Parechesi.

(3) Ib. p. 1326.

(4) Parech. Odys. p. 430.

§. ρέ. Τί δ' ἂν εἴποιμεν περὶ τοῦ Ἰσοκράτης, ὃ ἐν παλαιῷ ἀγάλματι διὰ τῆς ει γραφόμενον εὕρηται; πότερον, ἀρχαίαν τοῦτο γραφὴν, ἢ τοῦ ἑρμογλύφου ἁμάρτημα ὑπολαμβάνειν ὀφείλομεν; Ἀλλὰ ταῦτα μὲν ἐπ' ἀκριβείας ἄλλοι διερευνώντων· κἂν δ' ἁμάρτημα ἐκεῖνο, κἂν ἀρχαία γραφὴ ὑπάρχῃ, ὁμόφωνον τῷ ι τὴν ει εἶναι σαφῶς ἀποδείκνυσι. Καὶ τὸ πολίτης δὲ ἐν ἀρχαίοις μαρμάροις τε καὶ νομίσμασι διὰ τῆς ει γράφεσθαι καὶ Μοντεφαυκόνιος μαρτυρεῖ, κἀγὼ πολλάκις ἰδίοις ὀφθαλμοῖς εἶδον (1). Πότερον οὖν, περὶ ὀρθογραφίαν ἁμάρτημα, ἢ ἀρχαιοτέραν γραφὴν τοῦτο λογιστέον; Ἔμοι γε τὸ δεύτερον δοκεῖ πιθανώτερον. Ἔοικε γὰρ ὡς ταῦτα, παρὰ τῶν ὑστερογενῶν ἀεὶ ἰωταγραφούμενα, πάλαι καὶ διὰ τῆς ει ἐγράφοντο. Ἀλλ' ὅπως ποτ' ἂν ἔιη, κἀκ τούτων ἡ ει ὁμόφωνος τῷ ι ἀποδείκνυται.

§. ρς'. Καὶ τὸ ὀρίγανον δὲ, καὶ ἄλλα πολλὰ ἐκ τοῦ ὄρος συγκείμενα, διὰ τοῦτο πάλαι καὶ διὰ τῆς ει ἐγράφοντο· καὶ τὸ φῖ, χῖ, ψῖ, ἃ νῦν ἰωταγραφεῖται, τὴν διὰ τῆς ει διφθόγγου γραφὴν πάλαι εἶχον (§. ιϐ'.). Ὥσπερ ὡσαύτως καὶ τὰ ἀπὸ τῶν εἰς ης ἀρσενικῶν εἰς εια θηλυκὰ, νῦν μὲν τῇ ει παραλήγει· ὅτε δηλονότι εἰσὶ προπαροξύτονα· οἷον εὐγενής, εὐγένεια· νῦν δὲ τῷ ι, ἡνίκα δέχονται ἐπὶ τῆς παραληγούσης τὸν τόνον· οἷον εὐγενία.

§. ρζ'. Καὶ ἡ ἑνικὴ δὲ γενικὴ τῆς Β'. λατινικῆς κλίσεως τούτῳ, ὡς ὁ Αὖλος Γέλλιος φησί (1), τῆς πληθυντικῆς ὀνομαστικῆς διέφερε πάλαι· ὅτι τὴν μὲν γενικὴν μόνῳ τῷ ι ἔγραφον, οἷον **hujus amici**, τὴν δὲ ὀνομαστικὴν τῇ **ei**, οἷον

(1) Ἔστι τις λάρναξ ἀρχαία ἐν τῇ ἐμῇ πατρίδι ταύτην τὴν ἐπιγραφὴν ἔχουσα. «Ἐρένιος Ἡρακλειανὸς Γερουσιαστὴς Φιλιπποπολείτης, ἐκ τῶν ἰδίων ἑαυτῷ καὶ τῇ συζύγῳ ἑαυτοῦ Κλεοπάτρᾳ κατεσκεύασε τὴν σωρόν. κ. τ. λ.» Οὐ μόνον δ' ἐν ταύτῃ, ἀλλὰ καὶ ἐν τριάκοντα μὲν νομίσμασι Φιλιπποπολειτῶν, ἐν πέντε δὲ Ἀδριανοπολειτῶν, ἐν ἑνὶ Ἀμφιπολειτῶν, ἐν ἑνὶ Τραϊανοπολειτῶν, καὶ ἄλλοις τισὶν, ἃ εἶδον, τὸ πολείτης διὰ τῆς ει γράφεται. Σημειωτέον δὲ καὶ τοῦτο, ὅτι τῶν νεωτέρων ταῦτα τὰ ἐθνικὰ διὰ τῆς ου γραφόντων, οἷον Ἀδριανουπολίτης, οἱ παλαιοὶ μόνῳ τῷ ο ἐν αὐτοῖς ἐχρῶντο· ὃ δὴ καὶ ἔν τισι τῶν ἀρχαίων συγγραφέων ὁρᾶται. Καὶ τὸ Ἀντωνεῖνος δὲ καὶ συνοδείτης διὰ τῆς ει ἐν τοῖς ἀρχαίοις ἐστὶ νομίσμασι καὶ μνημείοις γεγραμμένα, καὶ ἄλλα πλεῖστα.

(1) Ἐνθ. ἀν. Β. Γ'. κ. κδ'.

§. 105. Quid vero dicendum sit de Ἰσοκράτης, quod in antiqua statua per ει scriptum videtur? utrum priscam hoc scripturam, aut sculptoris errorem putare debeamus? At de his quidem alii exacte inquirant; sive error vero, sive prisca scriptura illud sit, ει et ι consona esse manifeste indicat. Attamen et πολίτης in priscis marmoribus et nummis per ει scribitur; quod et Montefaucon testatur, et ipsemet multoties vidi (1). Utrum igitur : pro errore orthographico, aut pro prisca scriptione hoc habendum sit? Posterius mihi apparet verisimilius. Videtur enim quod hæc, quæ a recentioribus semper per ι scribuntur, olim etiam per ει scriberentur. Qualicunque modo tamen hoc sit, ex istis quoque ει et ι consona esse demonstrantur.

§. 106. Porro ὀρίγανον, et multa alia ab ὄρος composita, eadem ex ratione olim et per ει scribebantur; et literæ φῖ, χῖ, ψῖ, quæ nunc per ι scribuntur, scripturam per ει quondam habebant (§. 12.). Sicut etiam nomina in εια desinentia, quæ a masculinis in ης desinentibus fiunt, nunc quidem ει: dum nempe in antepenultima acuuntur, in penultima habent, ut εὐγενὴς, εὐγένεια; nunc vero per ι scribuntur: dum accentus in penultima ponitur, ut εὐγενία.

§. 107. Etiam genitivus singularis II. declinationis latinæ hoc, ut Aulus Gellius dicit (1), a plurali nominativo olim differebat: quod genitivum solo i scribebant, *hujus amici*; nominativum vero per ei, amicei; postea autem *e* tanquam

(1) Exstat in patria mea urna prisca, quæ hanc inscriptionem habet. » Ἑρένιος Ἡρακλειανὸς Γερουσιαστὴς Φιλιπποπολείτης, ἐκ τῶν ἰδίων ἑαυτῷ, καὶ τῇ Συζύγῳ ἑαυτοῦ Κλεοπάτρᾳ κατεσκεύασε τὴν σορὸν, etc. » Non solum vero in hac, sed etiam in triginta nummis Φιλιπποπολειτῶν, in quinque Ἀδριανοπολειτῶν, in uno Ἀμφιπολειτῶν, in uno Τραϊανοπολειτῶν, et aliis nonnullis, quos vidi, πολείτης per ει est scriptum. Notandum vero et hoc est, quod licet hæc gentilia nomina per ου recentiores scribant, ut Ἀδριανουπολίτης, veteres in iisdem solo ο utebantur; quod et apud nonnullos priscos Auctores videre est. Etiam Ἀντωνεῖνος et συνοδείτης per ει scripta in veteribus nummis et monumentis reperiuntur, et permulta alia.

(1) L. c. L. III. c. 24.

amicei· εἶτα τοῦ e κατὰ Κοϊντιλιανὸν (2), ὡς περιττοῦ ἀποβληθέντος, διὰ τὸ νῦν μὲν μακρᾶς, νῦν δὲ βραχείας συλλαβῆς τόπον τὸ i ἐπέχειν, ἡ διὰ μόνου τοῦ i γραφὴ ἐκράτησε γίνεσθαι. Διὸ καὶ τὰς διὰ τῆς ει γραφομένας ἑλληνικὰς λέξεις μόνῳ τῷ i ὡς ἐπὶ τὸ πολὺ Λατῖνοι ἐκτίθενται· οἷον Δαρεῖος Darius, εἰκὼν icon· καὶ σωρείτης sorites παρὰ Κικέρωνι, καὶ τὸ ὀξεῖα, βαρεῖα, δασεῖα, oxia, varia, dasia παρὰ Φωκᾷ τῷ Γραμματικῷ· ὥσπερ ὡσαύτως πολλὰς ῥωμαϊκὰς διὰ τοῦ i γραφομένας λέξεις διὰ τοῦ ει Πλούταρχος καὶ ἄλλοι γράφουσιν· οἷον idus εἰδοὺς, pirarii πειράριοι, honori ὀνώρει. κ.τ.λ. (§. μή. νϐ'. ξς'. καὶ ϡα'.) (3).

Περὶ τῆς ευ.

§. ρή. Ἡ ευ συνῃρημένως ὡς εφ προφέρεται. Πρὸ δὲ τῶν εἰρημένων γραμμάτων (§. ϡθ'.) τὴν τοῦ ϐ ὑποδύεται προφοράν· οὗ ἀπόδειξίς ἐστι τὸ Ἔϐρος Εὖρος (§. λϐ'.), καὶ Σεϐῆρος, Σευῆρος, Severus, καὶ τὸ Εὔϊος, Ευάγριος, Εὐαγγέλιον, κ. τ. λ. Evius, Evagrius, Evangelium ὑπὸ Λατίνων λεγόμενα (§. νϐ'. καὶ πγ'.).

Περὶ τῆς οι.

§. ρθ'. Ἡ οι ὡσαύτως ὡς ι μακρὸν ἐκφωνεῖται· ᾧ δὴ ὁ παρὰ Θουκυδίδῃ χρησμὸς μαρτυρεῖ.

» Ἥξει δωριακὸς πόλεμος καὶ λοιμὸς ἅμ' αὐτῷ (1).

§. ρί. Καὶ Ἑρμογένης. « Τοιαῦται δὲ (πλατεῖαι καὶ διογκοῦσαι λέξεις) καὶ ἄλλαι μέν τινές, ἐξαιρέτως δὲ αἵ τε τῷ α καὶ τῷ ω πλείστῳ χρώμεναι· ὥσπου καὶ ὁ Πλάτων τὴν οἰωνιστικὴν φησὶν (1) ᾠωνιστικὴν ὀνομάσαι τινὰς ἀποσεμνύνοντ-

(2) Ἐσαγ. Ῥητορ. Β. Α'. κ. ιγ'.

(3) Καὶ τὸ i παρὰ τοῖς παλαιοῖς ἐπιτιθέμενον τὴν ei ἐποίει δίφθογγον, ἣν ἐκεῖνοι ἔθει τῶν ἀρχαίων Ἑλλήνων ἀντὶ παντὸς μακροῦ i ἔγραφον. Πρισκιαν. ἔνθ. ἀν. Β. Α'.

(1) Ἐντῶδε τῷ καιρῷ, οἷα εἰκὸς, ἀνεμνήσθησαν καὶ τοῦδε τοῦ ἔπους φάσκοντες οἱ πρεσβύτεροι ᾄδεσθαι. « Ἥξει δωριακὸς, κ. τ. λ. Ἐγένετο μὲν οὖν ἔρις τοῖς ἀνθρώποις μὴ λοιμὸν ὠνομάσθαι ἐν τῷ ἔπει ὑπὸ τῶν παλαιῶν, ἀλλὰ λιμόν. ἐνίκησε δὲ ἐπὶ τοῦ παρόντος λοιμὸν εἰρῆσθαι· οἱ γὰρ ἄνθρωποι πρὸς ἃ ἔπασχον τὴν μνήμην ἐποιοῦντο. Ἢν δέ γε οἶμαι ποτὲ ἄλλος πόλεμος καταλάβῃ δωρικὸς τοῦδε ὕστερος, καὶ συμβῇ γενέσθαι λιμὸν, κατὰ τὸ εἰκὸς οὕτως ᾄσονται. Συγ. Β'. §. νδ'.

(1) Ταῦτα διαφόρως πως παρὰ Πλάτωνι ἀναγινώσκεται. « Ἐπεὶ καὶ τήν γε τῶν ἐμφρόνων ζήτησιν

superflua, juxta Quintilianum (2), rejecta: quia *i* alias longæ, alias brevis syllabæ locum tenet, scriptura quæ per solum *i* fit, prævaluit. Idcirco vocabula græca, quæ per *ει* scribuntur, sæpius Latini *i* solo exponunt; ut Δαρεῖος *Darius*, εἰκὼν *icon*, et σωρείτης *sorites* apud Ciceronem, et ὀξεῖα, βαρεῖα, δασεῖα, *oxia*, *baria*, *dasia* apud Focam Grammaticum; sicut etiam in permultis latinis per *i* scriptis dictionibus Plutarchus et alii *ει* utuntur; ut *idus* εἰδοὺς, *pinarii* πεινάριοι, *honori* ὀνώρει, etc. (§. 48, 52, 66 et 91.) (3).

## De *ευ*.

§. 108. Ευ indivisc ut *ef* profertur; ante dictas vero literas (§. 99.) prolationem *β* induit; cujus demonstratio est Ἔβρος Εὔρος (§. 32), et Σεβῆρος, Σευῆρος, *Severus*, et Ἔυιος, Εὐάγριος, Εὐαγγέλιον, etc. quæ a Latinis Evius, Evagrius, Evangelium dicuntur (§ 52, et 83.).

## De *οι*.

§. 109. Etiam *οι* ut *ι* longum pronunciatur; quod apud Thucididem exstans oraculum indicat,

» Ἥξει δωριακὸς πόλεμος καὶ λοιμὸς ἅμ' αὐτῷ (1).

§. 110. Et Hermogenes; » Tales vero (dictiones amplæ et implentes) et aliæ quidem sunt, præsertim autem illæ, quæ frequentius *α* et *ω* utuntur; sicut et Plato dicit (1) οἰωνιστικὴν ab aliis ὠωνοστικὴν appellari, ut illud vocabulum per literam *ω*

(2) Inst. Rhetor. L. I. c. 13.

(3) I quoque apud antiquos post e ponebatur, et ei diphthongum faciebat; quam pro omni i longa scribebant more antiquorum Græcorum. Priscian. l. c. L. I.

(1) Dum autem Athenienses hoc malo vexabantur, ut verisimile est, hoc etiam carmen in memoriam revocarunt, quod seniores olim decantatum dicebant, » Ἥξει δωριακὸς, etc. Inter homines autem altercatio erat, non λοιμὸν in isto carmine ab antiquis nominatum, sed λιμόν; sed in præsentia illud merito evicit λοιμὸν isto carmine significatum fuisse; homines enim ad mala, quæ patiebantur, carminis mentionem accordabant. Quod si unquam aliud doricum bellum post hoc eos invaserit; et λιμὸν esse contigerit, verisimiliter hoc modo canent. L. II §. 54.

(1) Hæcce cum aliqua differentia apud Platonem leguntur. » Sane. investigationes futuri sanorum ho-

τας τῷ ω » (2). Εἰ γὰρ ἡ οι διῃρημένως προὐφέρετο, οὐκ ἔδει ταύτην εἰς ω ἐκείνους μεταβαλεῖν· ὁμόφωνον μὲν γὰρ τὸ ο τῷ ω, δευτέρας δὲ σεμνότητος λέξεις τὰς διὰ τοῦ ο ςοιχείου Ἑρμογένης ἀποκαλεῖ (3).

§. ρια'. Καὶ Δημήτριος δὲ ὁ Φαληρεὺς ἐν τοῖς ἑξῆς. » Ἐν τῷ οἶην οὐ μόνον διαφέροντα τὰ γράμματα ἐςὶν, ἀλλὰ καὶ οἱ ἦχοι· ὁ μὲν δασὺς, ὁ δὲ ψιλός· ὥςε πολλὰ ἀνόμοια εἶναι » (1). Ἐκ τούτων οὖν ἀποδείκνυται τὴν μὲν τῆς οι καὶ τοῦ η ἐκφώνησιν ὁμοίαν εἶναι, διὰ δὲ τὴν ἐπὶ τῆς οι δασεῖαν ταῦτα διαφέρειν ἀλλήλων, περὶ οὗ ὕςερον.

§. ριβ'. Καὶ Εὐςάθιος ἐν τοῖς παρηχεῖν εἰρημένοις (§. ϛ'.)· οἷον ἐν τῷ, ἤτοι χρυσέη ἴτυς ἄφθιτος, Τροίῃ ἐν εὐρείῃ, χάῤῥυβδις ἀναῤῥοιβδεῖ, σκύλλη κοίλης, κοιμίζει κυμαίνοντα, κοίμισον κύματα, ἔῆος ἑοῖο (1). Τοιαῦτά δ' εἰσι καὶ τὰ ἑξῆς Ἡσιόδου τε καὶ Θεόγνιδος,

» Εἴη μοι πέτρης σκιὴ, καὶ βύβλινος οἶνος.

» Ἔπλεθ' ὅσοις ὁσίαις Κύρνε μέμηλε δίκαις.

§. ριγ'. Καὶ ὁ περὶ τὸ υξ'. δὲ ἔτος ἀπὸ Χριςοῦ βεβιωκὼς Καῖος Σόλιος, τῇ ἑλληνικῇ προσχὼν ἐκφωνήσει, τὴν μοῖραν λατινικοῖς γράμμασι miram ἔγραψεν (1)· ὅπου γε ἄλλως Λατῖνοι τὴν οι δίφθογγον ἀεὶ διὰ τῆς oe, ὡς ε μακρὸν ἐκφωνουμένης, ἐκτίθενται. Καὶ τὸ Vinum δὲ ἐκ τοῦ οἶνος παραγόμενον, ὁμόφωνον τὴν οι τῷ ι ἀποδείκνυσι.

§. ριδ'. Ζητήτειε δ' ἄν τις ἐνταῦθα, εἴ γε, ὥσπερ μικράν τινα διαφορὰν ἐν τῇ τοῦ η, ι, καὶ υ ἐκφωνήσει ὑπεθέμεθα εἶναι (§. νθ'.), οὕτω καὶ περὶ τῆς ει, καὶ οι τοιόνδε τι ὑπολαμβάνειν χρεών· εἰ αὗται πάλαι διέφερόν τι ἀλλήλων ὡς πρὸς τὴν ἐκφώνησιν· καὶ τίνι μᾶλλον ἐκείνων, τῷ η, ἢ τῷ ι, ἢ τῷ υ, ὁμοφώνως προὐφέροντο. Εἰ χρὴ τῷ Ἀνωνύμῳ πιςεῦσαι (§. ϛδ'.),

τοῦ μέλλοντος διά τε τῶν ὀρνίθων ποιουμένων καὶ ἄλλων σημείων, ἅτ' ἐκ διανοίας ποριζομένων ἀνθρωπίνῃ νοήσει νοῦν τε καὶ ἱςορίαν, οἰονοηςικὴν ἐπωνόμασαν, ἣν νῦν οἰωνιςικὴν τῷ ω σεμνύνοντες οἱ νέοι καλοῦσιν. » Ἐν Φαίδρ. σ. 343.

(2) Περὶ Ἰδεῶν. σ. 283.

(3) Αὐτ. σ. 284.

(1) Περὶ Ἑρμηνείας §. ογ'.

(1) Παρεκβ. Ἰλ. σ. 947.

(1) Ἐρ. Σμίδ. ἔνθ. ἀν. σ. 646.

gravius redderent (2) ». Si enim οι divisim proferetur, non deberent illi hancce in ω permutare; siquidem consonum est ο cum ω; secundi vero generis gravitatis dictiones, quæ per ο literam scribuntur, Hermogenes appellat (3).

§. 111. Et Demetrius Phalereus in sequentibus; » In dictione οἴην non solum literæ differunt, verum etiam soni; unus enim est asperus, alter tenuis, ita ut multa non similia sint. (1) » Ex his itaque demonstratur prolationem quidem οι et η eandem esse; ob spiritum vero asperum, qui in οι est, ab invicem differre; de quo posterius.

§. 112. Et Eustathius in illis, quæ parechesin facere dixit (§. 90.); ut in χρυσέη ἴτυς ἄφθιτος, Τροίη ἐν εὐρείη, Χάῤῥυβδις ἀναῤῥοιβδεῖ, σκύλλη κοίλης, κοιμίζει κυμαίνοντα, κοίμισον κύματα, ἔηος ἑοῖο (1). Talia sunt et sequentia Hesiodi et Theognidis,

» Εἴη μοι πέτρης σκιὴ, καὶ βύβλινος οἶνος.

» Ἔπλεθ' ὅσοις ὁσίαις Κύρνε μέμηλε δίκαις.

§. 113. Etiam Cajus Solius, qui anno 460 a Christo nato vixit, græcæ prolationi data attentione, μοῖραν literis latinis *miram* scripsit (1); cum aliter Latini diphthongum οι per *oe*, quæ ut longum ε profertur, semper exponunt. *Vinum* etiam ab οἶνος derivatum, eandem prolationem οι et ι indicat.

§. 114. Hic tamen quidam interroget, si, quemadmodum parvulam quandam differentiam in η, ι et υ prolatione supposuimus esse (§. 59.), ita etiam de ει et οι tale quoddam putare debeamus; si hæ olim quoad prolationem aliquid ab invicem different; et cui potius illarum: η, aut ι, aut υ consonæ erant. Si fides Anonymo habenda sit (§. 94.): ει quidem

minum per aves et alia ostenta, utpote a conjectura humanæ intelligentiæ procedentes, mentem historiamque οἰονοιστικὴν cognominarunt; quam nunc recentiores litera ω honestiorem reddentes, οἰωνιστικὴν nuncupant. » in Phædr. p. 345.

(2) De Formis. p. 283.

(3) Ib. p. 284.

(1) De Elocutione. §. 73.

(1) Parech. Il. p. 947.

(1) Er. Schmidt. l. c. p. 646.

ἡ μὲν ει τῷ ι, ἡ η· ἡ δὲ οι τῷ υ μᾶλλόν ἐςιν ὁμόφωνος. Καὶ Ἑρμογένης δὲ ἔοικε τὴν ει ὁμόφωνον τῷ ι ὑπολαμβάνειν. « Δεύτεραι δὲ σεμνότητος λέξεις καὶ αἱ διὰ τοῦ ο ςοιχείου κατὰ μόνας εἴς τι μακρὸν καταλήγουσαι· οἷον Ὀρόντης· καὶ αἱ ταῖς μακραῖς τε καὶ διφθόγγοις πλεονάζουσαι· καὶ αἱ τὰ τελευταῖα ἐν ταύταις ἔχουσαι, πλὴν τῆς ει διφθόγγου. Καὶ εἰ καθ' αὑτὸ δὲ τὸ ι τιθοῖτο, ἥκιςα σεμνὴν ποιεῖ τὴν λέξιν πλεονάσαν· συςέλλει γὰρ μᾶλλον, καὶ σεσηρέναι ποιεῖ, διογκοῖ δὲ οὐδαμῶς τὸ ςόμα » (1). Διὰ γάρ τοῦ, καὶ εἰ καθ' ἑαυτὸ τὸ ι τιθοῖτο, ὃ μετὰ τὸ τῆς ει μνησθῆναι ἐπήγαγεν, ὁμόφωνον ταύτην τῷ ι ὑπάρχειν δείκνυσιν. Ἀλλὰ ταῦτα τό γε νῦν ἔχον ἀκριβέςερον πραγματεύσασθαι, καὶ πλείοσι μαρτυρίαις προσεμπεδῶσαι οὐκ ἔσχον (§. μή, καὶ νϐ'.).

Περὶ τῆς ου.

§. ριέ. Ταύτην μόνην ὀρθῶς ἡμᾶς ἐκφωνεῖν οἱ ἐναντίοι φασίν. Ἔδει μέντοι ἐκείνους ἢ καὶ αὐτὴν διῃρημένως ἐκφέρειν, ἢ καὶ τὰς ἄλλας διφθόγγους ἀδιαιρέτως. Ὥσπερ γὰρ ἐν ταύτῃ οὐκ ἔςιν ἀδύνατον δύο ςοιχεῖα ὡς ἓν ἐκφωνεῖσθαι, οὕτω καὶ καὶ ἐν ταῖς λοιπαῖς τῶν διφθόγγων· καὶ ὥσπερ τὴν ἀρχαίαν αὐτῆς ἐκφώνησιν διεσώσαμεν, οὕτως εἰκός ἐςι καὶ τὴν ἐκείνων μὴ ἀποϐαλεῖν. Ὡς εἴ γε μόνη ἡ ου μονοφθόγγως, αἱ δὲ λοιπαὶ τῶν διφθόγγων ἐν διαιρέσει πάλαι ἐξεφωνοῦντο, ἢ οὐκ ἔδει ταύτην συγκαταριθμηθῆναι ἐκείναις, ὡς λίαν αὐτῶν διαφέρουσαν, ἢ γοῦν μνείαν τῆςδε τῆς διαφορᾶς τινὰ τῶν ἀρχαίων ποιήσασθαι.

Περὶ τῆς ηυ, καὶ ωυ.

§. ριϛ'. Ἡ ηυ ἀδιαιρέτως ὡς ιφ ἐκφωνεῖται, ἢ ὡς ιϐ πρὸ τῶν εἰρημένων ςοιχείων (§. ϟθ'.)· ἡ δὲ ωυ ὡς οφ, ἢ οϐ. Ὅτε δὲ τὸ τῆς διαιρέσεως σημεῖον αὐταῖς ἐπιτίθεται, ὡς δύο συλλαϐαὶ ἐν διαιρέσει προφέρονται· ὡς ἠΰς, θωΰμα.

Περὶ τῆς τῶν Καταχρηςικῶν Διφθόγγων ἐκφωνήσεως.

Περὶ τῆς ᾳ.

§. ριζ'. Ἡ ᾳ ὡς α μακρὸν ἐκφωνεῖται. Τοῦ δ' ὑπογεγραμμένου ι τῷ α προσγραφέντος, τὰ πολλὰ μὲν ἐν διαιρέσει ἑκά-

(1) Περὶ Σεμνότ. σ. 284. Ἐν Γενέϐ. 1614.

literæ ι, vel η; οι vero υ magis consona est. Hermogenes etiam ει consonam literæ ι putare videtur. » Dictiones secundi gravis generis dicendæ sunt, quæ habent ο solum in syllaba longa in fine: ut in vocabulo Ὀρόντης; eæ quoque dictiones, quæ habent syllabas et diphthongos frequentes; præsertim in postremis syllabis, gravem reddunt orationem, excepta diphthongo ει. Etiam si ι quoque per se ponatur, minime gravem efficit dictionem; nam contrahit potius illam ac coarctat, minimeque os inflat et dilatat » (1). Nam per hæc, si ι *quoque per se ponatur*, quæ, mentione de ει facta, statim postposuit, consonam illam literæ ι esse demonstrat. Ast hæc nunc exactius pertractare, ac pluribus testimoniis confirmare non potui (§. 48, et 52.).

## De ου.

§. 115. Hanc solam recte nos proferre contrarii dicunt: Deberent vero illi aut et istam divisim, aut et cæteras diphthongos indivise pronunciare. Ut enim in hac non est impossibile duo elementa sicut unum pronunciari, ita etiam in reliquis diphthongis; et ut priscam ejusdem prolationem conservavimus, ita consentaneum est reliquarum quoque non amisisse. Quod si sola ου indivise, reliquæ autem diphthongi divisim olim proferentur: aut non deberent istam cum cæteris, tanquam valde ab iis differentem, comprehendere; aut saltem quendam veterum mentionem hujus differentiæ facere.

## De ηυ, et ωυ.

§. 116. Ηυ indivise ut *if*, vel ut *iv* ante dicta elementa (§. 99.), profertur; ωυ autem ut *of*, vel *ov*. Dum vero signum divisionis super has ponitur, ut duæ syllabæ divisim pronunciantur, ut ἠΰς, Ͽώϋμα.

## De impropriarum Diphthongorum Pronunciatione.

## De ᾳ.

§. 117. Diphthongus ᾳ ut α longum profertur. Dum vero subscriptum ι adscribitur α, plerumque divisim utrumque

(1) De Gravitate. p. 284. Genev. 1614.

τερον τῶν ϛοιχείων ἀναγινώσκεται· ὡς ᾆδης, ἀΐδης· ἐνίοτε δὲ καὶ ἐν συναιρέσει, τὴν αι κυρίαν δίφθογγον ἀπαρτίζοντα· ὡς ᾀεί, αἰεί (§. πϑ'. σημ. 1.).

Περὶ τῆς ῃ.

§. ριή. Ἡ ῃ ὁμοίως τῷ η· ὡς ἐκ τῆς παρηχήσεως τοῦ ἥρει Ἥρη, καὶ ζεῖ ζῇ ἀποδέδεικται (§. ϟ'.). Τοῦ δ' ὑπογεγραμμένου ι τῷ η προσγραφέντος, ἑκάτερον τῶν ϛοιχείων διῃρημένως ἀναγινώσκεται· οἷον ληϊϛής (§. πϑ'. σημ. 1.).

Περὶ τῆς ῳ.

§. ριϑ'. Ἡ ῳ ὁμοίως τῷ ω. Τούτου δ' ἀπόδειξις ἀναμφήριϛος τὰ ἑξῆς « Τὸ νικῶ πρώτου ὂν προσώπου, οὐ μετελεύσεται ἐπὶ δεύτερον... Ἀλλ' ἐπεὶ πάλιν προϛακτική τις διαφορὰ ἐν δευτέρῳ προσώπῳ ἀναμένει τὴν φωνήν, κᾂν ἐπὶ δευτέρου τιθῆται, καταλληλότητα ἀναδέχεται, ὡς ἔφαμεν, γενόμενον προϛακτικόν. Μέτεισιν ὁ λόγος καὶ μέχρι τοῦ τρίτου· δύναται δὲ περιγράφεσθαι τῆς συνεμπτώσεως διὰ τὴν προσοῦσαν τοῦ ι γραφήν· ὅμως γοῦν ἀκουόμενον συνεμπίπτει τῇ προϛακτικῇ προφορᾷ, καὶ ἔϛιν ἐν τῷ δέοντι λόγῳ, ἐὰν ἡ ἐπακολουθοῦσα αὐτῷ ἔγκλισις συνῇ, λέγω ἡ εὐκτική..... Νικῷ δ' ὁ κάῤῥων (1).» Ταῦτα οὖν καὶ τὴν τῶν λοιπῶν καταχρηϛικῶν Διφθόγγων ἀδιαίρετον ἐκφώνησιν τρανῶς ἀποδείκνυσι. Τοῦ δὲ ὑπογεγραμμένου ι τῷ ω προσγραφέντος, δυεῖν συλλαβῶν ταῦτα τὰ ϛοιχεῖα τόπον ἐπέχουσιν· οἷον λωΐτερον.

Περὶ τῆς υι.

ρ. ρκ'. Ἡ υι οὐχ ὡς τὰ ui γράμματα, λατινιϛὶ, ἢ γαλλιϛὶ προφερόμενα, ἀλλ' ὡς υ μακρὸν ἐκφωνεῖται. Παράδειγμα δὲ τοῦ λόγου οὐκ ἐλάχιϛον ἐϛὶ τὸ ἑξῆς. « Ἐν Μεγαρεῦσιν ἰδὼν Διογένης τὰ πρόβατα τοῖς δέρμασιν ἐσκεπασμένα, τοὺς δὲ παῖδας αὐτῶν γυμνοὺς, ἔφη· λυσιτελέϛερόν ἐϛι Μεγαρέως εἶναι κριὸν, ἢ υἱόν ». (1) Ἡ γὰρ κατὰ παρήχησιν, ὑπὸ τοῦ Κυνικοῦ ἐπίτηδες γενομένην, τῆς προφορᾶς τοῦ υ, καὶ τῆς υι ὁμοιότης, τὸ τοῦ λόγου ἀϛεῖον ποιεῖ. Τοιοῦτόν ἐϛι καὶ τὸ ὁμηρικόν· σάκος εἵλετο υἱὸς ἑὸς· περὶ οὗ φησὶν Εὐϛάθιος. « Ὅρα δ' ἐν-

(1) Ἀπολλών. Ἀλεξ. περὶ Συντάξ. Β. Γ'. κ. ζ'.

(1) Δ. Λαέρτ. ἐν βίῳ Διογέν.

elementum legitur, ut ᾅδης, ἀΐδης; aliquando vero contracte; et tunc αι propriam diphthongum efficiunt; ut ᾀεὶ, αἰεὶ (§. 89. adnot. 1.).

## De ῃ.

§. 118. Etiam ῃ literæ η similiter profertur; ut hoc ex parechesi ᾖρει Ἥρη, et ζεῖ ζῇ demonstratum est (§. 90.). Dum vero subscriptum ι adscribitur η, utraque litera divisim legitur; ut ληϊστής (§. 89. adnot. 1.).

## De ῳ.

§. 119. Pari modo et ῳ ut ω profertur. Hujus vero demonstratio citra controversiam sequens est.» Νικῶ est personæ primæ; itaque ad secundam non transibit... Sed quoniam diversus modus imperativi expectat eam vocem in secunda persona: etiam si in secunda ponatur, oratio erit congrua; nam fit imperativum, sicuti paulo ante diximus. Hæc eadem ratio ad tertiam usque personam pervenit; quanquam hæc possit ex coincidentia eximi propter ι subscriptum; verumtamen audita tantum, coincidit in imperativi prolationem; atque ita erit in oratione congrua, si habeat secum modum consequentem, optativum inquam... Νικῷ δ' ὁ κάῤῥων» (1). Hæcce itaque cæterarum quoque impropriarum diphthongorum indivisam prolationem magnopere indicant. Si autem subscriptum ι adscribatur ω, hæ literæ duarum syllabarum locum tenent; ut λωΐτερον.

## De υι.

§. 120. Υι non ut literæ, *ui* more latino, vel gallico prolatæ, sed ut υ longum pronnnciatur. Exemplum vero hujus maximum est sequens. » Apud Megarenses intuitus oves Diogenes pellibus tectas, illorum autem filios nudos, dixit: præstat Megarensis κριὸν esse quam υἱόν » (1). Nam prolationis per parechesin, a Diogene ex industria factam, ι et υι similitudo urbanitatem sermonis efficit. Tale est et Homericum, σάκος εἴλετο υἱὸς ἐῆος; de quo dicit Eustathius. » Vide vero hic parisosin simul ac polyonymiam assuetam, et subparechesin quandam

(1) Apollon. Alexandr. de Syntax L. III. c 7.

(1) D. Laërt. in vita Diog.

ταῦθα παρίσωσιν ἅμα καὶ πολυωνυμίαν συνήθη, καὶ ὑποπαρήχησιν δέ τινα ποιητικὴν ἐν τῷ, Σάκος εἵλετο υἷος ἑῆος. Τὸ μὲν γὰρ υἷος, καὶ τὸ ἑῆος παρισοῦσι· τὸ δὲ ἑῆος, καὶ τὸ ἑοῖο, εἰ καὶ μὴ εὐχρηστοῦνται λόγῳ πεζῷ, ἀλλὰ ποιητικώτερον καὶ πολυωνυμοῦνται καὶ παρηχοῦσι » (2). Καὶ ἀλλαχοῦ. « Περὶ τοῦ υἷος φασὶν οἱ Τεχνικοί, ὡς οἱ Ἀττικοὶ δίχα τοῦ ι ἐν μόνῳ τῷ υ γράφουσιν αὐτό· ἴσως πρὸς διαστολὴν τοῦ ὗς, ὑὸς, ὁ χοῖρος, ἡ κοινὴ διάλεκτος τὸ ι συνεξεφώνησε (3)· φύσει γὰρ διὰ μόνου τοῦ υ ὤφελεν εἶναι, εἴτε ἀπὸ τοῦ φύω, εἴτε ἀπὸ τοῦ ὕω τὸ βρέχω γίνεται » (4). Ὅτε δὲ τῇ υι τὸ τῆς διαιρέσεως σημεῖον ἐπιγράφεται, ὡς ἐν τῷ μυΐνδα, τότε οὐκέτι δίφθογγος, ἀλλὰ δύο στοιχεῖα εἰσί, διῃρημένως προφερόμενα, καὶ δυεῖν συλλαβῶν τόπον ἐπέχοντα (§. νϐ'.).

## ΚΕΦΑΛΑΙΟΝ Ε'.

### ΠΕΡῚ ΤΗ͂Σ ΚΑΤᾺ ΠΡΟΣΩΔΊΑΝ ΤΩ͂Ν ΣΤΟΙΧΕΊΩΝ ἘΚΦΩΝΉΣΕΩΣ.

§. ρκά. » Οὗτος μὲν δὴ ἄεθλος ἀάατος ἐκτετέλεσται·
» Νῦν αὖ τε σκοπὸν ἄλλον, ὃν οὔπω τις βάλεν ἀνήρ,
» Εἴσομαι αἴκε τύχοιμι, πόροι δέ μοι εὖχος Ἀπόλλων (1)·

τὸν σκοπὸν δηλαδὴ τῶν σημείων, οἷς χρώμεθα, τὰ μὲν τοῖς στοιχείοις ἐπιτιθέντες, τὰ δὲ ἐντιθέντες, τὰ δὲ ὑποτιθέντες, ἃ δὴ παρὰ τῶν Γραματικῶν Προσῳδίαι (2) καλοῦνται. Περὶ μόνων γὰρ τούτων

(2) Παρεκϐ. Ἰλ. σ. 947.

(3) Ἐνταῦθα Εὐστάθιος γράφουσιν, ἀλλ' οὐκ ἐκφωνοῦσιν εἰπὼν, τὴν ἐκ μόνης τῆς γραφῆς τοῦ υἱὸς, καὶ ὑὸς διαφορὰν ἐσήμανεν· ὥσπερ καὶ διὰ τοῦ συνεξεφώνησε τὴν τῆς υι ἀδιαίρετον προφοράν.

(4) Αὐτ. σ. 17.

(1) Ὀδυσ. Χ. στίχ. 5—7.

(2) Ἐπειδή περ οἱ πάλαι τὰ Περὶ Γραμματικῆς συνταξάμενοι, σημεῖά τινα σοφῶς ἐπινοήσαντες παραδεδώκασιν, ἐξ ὧν τήν τε δύναμιν, καὶ τὴν, ὡς ἂν εἴποι τις, ποιότητα τῶν συλλαβῶν, καὶ τὴν προφορὰν διαγινώσκειν ἔχοιμεν.... ἐπενόησαν ἄλλα τε σημεῖα, τόνους φημὶ καὶ πνεύματα καὶ τὰ λοιπά· ἃ δὴ καὶ προσῳδίας ὠνόμασαν, ὡς πρός τινα ᾠδὴν καὶ τὴν ἐκφώνησιν τῶν συλλαβῶν συντελούσας. Δημ. Τρικλίν. Προσῳδία ἐστι ποιὰ τάσις ἐγγραμμάτου φωνῆς ὑγιοῦς, κατὰ τὸ ἀπαγγελτικὸν τῆς λέξεως ἐκφερομένη μετά τινος

Digitized by Google

poëticam in hoc, Σάκος εἵλετο υἷος ἑῆος. Nam υἷος et ἑῆος parisosin faciunt; ἑῆος vero et ἑοῖο, quamvis in soluto sermone non usitata sint; tamen apud Poëtas et unum pro altero in usum venit, et parechesin faciunt » (2). Et alibi. » De υἱος dicunt Grammatici quod Athenienses sine ι solo υ illud scribant; fortasse, ut hoc ab ὗς ὑὸς *porcus* distinguatur, communis dialectus simul et ι pronunciavit (3); natura enim per solum υ deberet esse, sive a φύω, sive ab ὕω derivetur » (4). Dum vero signum divisionis super υι scribitur, ut in μυΐῃσι: non amplius diphthongus, sed duo elementa sunt; duarumque syllabarum locum tenent (§. 52.).

---

# CAPUT V.

## DE ELEMENTORUM JUXTA PROSODIAS PRONUNC.

§. 121. » Hoc quidem certamen perdifficile perfectum est; nunc rursus scopum alium, quem nondum quisquam percussit vir, videbo an consequar, præbeatque mihi gloriam Apollo » (1); scopum nempe signorum, quibus utimur; et alia super elementa, alia inter elementa, alia denique sub iisdem ponimus; quæ Προσῳδίαι (2) a Grammaticis nuncupantur.

(2) Parecb. Il. p. 947.

(3) Cum hic γράφουσι, non autem ἐκφωνοῦσιν Eustathius dixerit: sola scriptura ὑιὸς ab ὑὸς differre significavit; sicut etiam per συνεκφώνησιν indivisam υι prolationem.

(4) Ib. p. 17.

(1) Odys. L. XXII. vers. 5—7.

(2) Cum veteres Grammaticam componentes, signa quædam sapienter inventa tradiderint, ope quorum virtutem et qualitatem, ut ita dicam, et prolationem syllabarum distinguere possumus... invenerunt et alia signa, accentus scilicet ac spiritus, et cætera, quæ etiam prosodias vocarunt; quia ad cantum quendam, et prolationem syllabarum conducunt. Demetr. Triclin. Prosodia est intentio quædam vocis sanæ literis conceptæ, quæ secundum enunciativum genus dictionis

ὡς περὶ τὴν ὀρθὴν τῶν συλλαβῶν καὶ λέξεων ἐκφώνησιν ὄντων, ἐνταῦθα διαλαβεῖν ἡμῖν ἔδοξε, τὰ λοιπὰ σιγῇ παρελθόντας, ὅσα ὑπὸ τὸ ὄνομα στιγμὴ γενικωτέρως νοοῦνται, καὶ ὅσα πάλαι οἱ Ποιηταὶ ἐν τοῖς στίχοις ἐχρῶντο (3).

§ ρκϐ΄. Αἱ προσῳδίαι τοίνυν κοινῶς μὲν δέκα καταριθμοῦνται· ὀξεῖα ΄, βαρεῖα `, περισπωμένη ῀, μακρὰ ¯, βραχεῖα ˘ (1), δασεῖα ῾, ψιλὴ ᾿, ἀπόστροφος ᾽, ὑφὲν ‿, καὶ ὑποδιαστολὴ ʼ, καίτοι ἑπτὰ κατά τινας κυρίως εἰσίν (2)· ὥσπερ οὖν ἄλλοι καὶ πλείους τῶν δέκα ταύτας εἶναι ὑπολαμβάνουσι (3). Ταῖς δὲ προσῳδίαις οὐκ ἂν ἁμάρτοι τις καὶ τὸ τῆς διαιρέσεως σημεῖον ¨ προσθείς· καὶ τοῦτο γὰρ κατὰ τὴν ὑποδιαστολὴν, τὴν δυοῖν στοιχείων ἐν διαιρέσει διδάσκει ἀνάγνωσιν.

τῶν συνεζευγμένων περὶ μίαν συλλαβὴν, ἤτοι κατὰ συνήθειαν διαλέκτου ὁμολογουμένης, ἢ κατὰ τὸν ἀνάλογον ὅρον καὶ λόγον. Πορφύρ. ἔνθ. ἀν. σ. 103. Διὰ γὰρ τὸ πρὸς αὐτὰς ᾄδεσθαι τὰς φωνὰς εἴρηται καὶ αὐτὰ προσῳδίαι. Ὁ αὐτ. σ. 108. Ὠδὰς ἔλεγον οἱ ἀρχαῖοι τὰ ποιήματα, καὶ ἀοιδοὺς τοὺς ποιητάς. Σχόλ. εἰς Διον. τὸν Θρᾷκα· παρὰ Villoison. ἔνθ. ἀν. σ. 180. Ἰστέον ὅτι τριχῶς λέγεται ἡ προσῳδία. Καὶ ἡ παρὰ τοῖς Μουσικοῖς, τουτέστι τὸ στόμα καὶ ἡ ἐκφώνησις τῶν αὐλῶν, λέγεται προσῳδία· καὶ ἡ ἐν τῇ ἐκφωνήσει γινομένη, τουτέστιν ἐν τῷ παροξύνεσθαι λέξιν, ἢ ὀξύνεσθαι, ἢ περισπᾶσθαι· λέγεται προσῳδία καὶ αὐτὸς ὁ χαρακτὴρ τῶν τόνων καὶ τῶν πνευμάτων. Γεώργ. Χοιροϐ. αὐτ. σ. 103.

(3) Ὅρα περὶ τούτων Ἡφαιστ. ἐν Ἐγχειρ. καὶ τοὺς Σχολιαστ. Σοφοκλέους, Εὐριπίδου, κ. τ. λ. καὶ τὰ Προλεγόμενα τῆς τοῦ Villoison ἐκδόσ. τῆς Ἰλιάδ.

(1) Ὁμολογουμένως ὄντος τοῦ η μακροῦ, καὶ τοῦ ω, οὐ τίθεται ἐπάνω αὐτῶν τὸ σημεῖον τῆς μακρᾶς· οὔτε μὴν ἐπάνω τοῦ ε, καὶ ο τὸ σημεῖον τῆς βραχείας· καὶ χωρὶς γὰρ σημείων ὡμολόγηται ὅτι μακρά ἐστι τὸ η καὶ τὸ ω· ὡσαύτως δὲ βραχέα τὸ ε καὶ τὸ ο. Τίθεμεν δὲ ταῦτα ἐπὶ τῶν διχρόνων, ἐπὶ μὲν τοῦ ἰσχυρότατος τὸ σημεῖον τῆς μακρᾶς, ἐπὶ δὲ τοῦ ὀξύρωτατος τὸ σημεῖον τῆς βραχείας. διότι ἄδηλόν ἐστι χωρὶς τῆς θέσεως τῶν σημείων, εἴ τε μακρὸν ἐστὶν, εἴ τε βραχὺ τὸ υ. Πορφ. ἔνθ. ἀν. σ. 112.

(2) Προσῳδίαι κυρίως εἰσὶν ἑπτά· ὀξεῖα, βαρεῖα, περισπωμένη, μακρά, βραχεῖα, δασεῖα, καὶ ψιλή. Ἡ γὰρ ἀπόστροφος, ἡ ὑφὲν καὶ ἡ ὑποδιαστολὴ οὐκ εἰσὶ κυρίως προσῳδίαι, ἀλλὰ καταχρηστικῶς. Σχόλ. εἰς Διον. τὸν Θρᾷκα ἔνθ. ἀν. σ. 108. Ἴδε καὶ Σέξτον ἔνθ. ἀν. κ. ἑ.

(3) Ἐπενοήθη ἔμοι γε τῆς κοινῆς σημεῖον, καὶ οἶμαι καλὸν ἂν δόξαι τοῖς εὖ φρονοῦσιν. Ἐπενοήθη δὲ διπλοῦν τὸ σημεῖον, διὰ τὸ διπλῆν τινα καὶ ταύτην ἔχειν τὴν δύναμιν. Ὅτε μὲν οὖν ἀντὶ βρα-

Nam de his solummodo, tanquam ad syllabas ac dictiones recte proferendas conferentibus, hic nobis disserere placuit, silentio cætera prætereundo, quæ sub nomine στιγμὴ generaliter intelliguntur; nec non illa, quibus olim Poëtæ in carminibus utebantur (3).

§. 122. Prosodiæ igitur communiter quidem decem adnumerantur: ὀξεῖα ´, βαρεῖα `, περισπωμένη ῀, μακρά ¯, βραχεῖα ˘ (1), δασεῖα ʽ, ψιλὴ ʼ, ἀπόστροφος ʼ, ὑφὲν ‿ et ὑποδιαστολή ʼ; quamvis septem juxta nonnullos proprie sint (2); sicut e contra alii plures quam decem illas esse existimant (3). Si vero quidam signum quoque divisionis ¨ iisdem addat, non peccabit certe; nam et hoc secundum hypodiastolem divisam duorum elementorum lectionem docet.

cum aliquo ipsi conjunctorum in una syllaba, aut juxta usum dialecti acceptum, aut juxta analogam definitionem ac rationem exprimitur. Porphyr. l. c. p. 103. Hæc signa appellata sunt prosodiæ; quoniam ad voces ipsas cantantur. Id. ib. p. 108. Ὠιδὰς veteres poëmata vocabant, et ἀοιδοὺς ipsos Poëtas. Schol. in Dion. Thrac. apud de Villoison. l. c. p. 180. Sciendum quod triplici modo dicitur prosodia. Nam et apud Musicos os et prolatio tibiarum dicitur prosodia; etiam illa, quæ in pronunciatione fit, dum nempe dictio quædam in penultima, vel in ultima acuitur, aut circumflectitur; denique prosodia dicitur ipse quoque character accentuum ac spirituum. Georg. Chœrob. Ib. p. 103.

(3) Vide de his Hephæst. in Enchir. et Scholiast. Sophocl. Euripid. etc. et Prolegom. Iliad. Ed. de Villoison.

(1) Cum manifeste η et ω longa sint, non ponitur in his signum longum; nec in ε et ο signum breve; nam et sine his signis liquet η quidem et ω longa, ε vero et ο brevia esse. Ponimus autem hæc in ancipitibus: in ἰσχυροτάτοις nempe signum longum, in ἐχθροτάτοις vero signum breve; nam absque signorum additione incertum est, utrum longum, vel breve υ sit. Porphyr. l. c. p. 112.

(2) Prosodiæ proprie sunt septem; acuta, gravis, circumflexa, longa, brevis, aspera, et tenuis. Nam apostrophus, ὑφὲν et hypodiastole non sunt proprie prosodiæ, sed abusive. Schol. in Dion, Thrac. l. c. p. 108. Vide et Sextum l. c. c. 5.

(3) Inventum est a me signum communis syllabæ, quod et sapientibus gratum fore arbitror; inventum vero est signum duplex; quia illa etiam duplicem quandam virtutem habet. Dum igitur pro brevi accipi debet, hoc signum inventum

§. ρκγ'. Διαιροῦνται δὲ αἱ προσῳδίαι εἰς τόνους (1)· ὡς ἡ ὀξεῖα, βαρεῖα (2), καὶ περισπωμένη· εἰς χρόνους (3)· ὡς ἡ μακρὰ καὶ βραχεῖα· εἰς πνεύματα, ὡς ἡ δασεῖα καὶ ψιλὴ (4)· καὶ εἰς πάθη (5)· ὡς ἡ ἀπόςροφος, ὑφὲν, ὑποδιαςολὴ, καὶ τὸ τῆς διαιρέσεως σημεῖον. Καὶ οἱ μὲν τόνοι ἐπὶ τῶν φωνηέντων μόνων ἐπιτίθενται· τοῖς δὲ χρόνοις πάλαι ἐπὶ τῶν ἀμφιβαλλομένων φωνηέντων ἐχρῶντο (§. ρκβ'. σημ. 1). Τὰ δὲ πνεύματα ἐπὶ μόνων τῶν ἀρκτικῶν φωνηέντων τόγε νῦν ἔχον τίθεται (6), πάλαι δὲ καὶ ἐπὶ τῶν ἐν μέσῳ λέξεως ὄντων (7). Ἐκ πάντων δὲ τῶν συμφώνων μόνον τὸ ρ,

χείας ὀφείλει λαμβάνεσθαι, σημεῖον ἐπενοήθη τοδί· {L.... Ὅτε δ' ἀντὶ μακρᾶς, τοῦτο ἀντεςραμμένον οὑτωσί ꓕ. Δημ. Τρικλίν.

(1) Τόνος ἐςὶν ἐπίτασις, ἢ ἄνεσις, ἢ μεσότης συλλαβῶν.... Καὶ ἔςι πάλιν ἡ μὲν ὀξεῖα ποιότης συλλαβῆς ὑφειμένον ἔχουσα φθόγγον· περισπωμένη δὲ ποιότης συλλαβῆς συνημμένον ἢ κεκλασμένον ἔχουσα φθόγγον. Εἶπε δὲ συνημμένον τὸν μετέχοντα καὶ ὀξείας καὶ βαρείας· κεκλασμένον δὲ, τὸν ἀπὸ τοῦ ὀξέος ἐπὶ τὸ βαρὺ ῥέοντα. Πορφύρ. ἔνθ. ἀν. σ. 109.

(2) Ἡ βαρεῖα συλλαβικὸς τόνος ἐςὶ, τουτέςιν εἰς τὴν συλλαβὴν τὴν μὴ ἔχουσαν τὸν κύριον τόνον ἐπιτίθεται..... Ὅτι πᾶσα συλλαβὴ, χωρὶς τῆς συλλαβῆς τῆς ἐχούσης τὸν κύριον τόνον, τὴν βαρεῖαν ἐπιδέχεται... Κύριος δὲ τόνος καλεῖται ἡ ὀξεῖα, ὅτι τείνει τὴν φωνήν. Πορφύρ. ἔνθ. ἀν. σ. 111. Πόσοι τόνοι; Καταχρηςικῶς τρεῖς· ὀξεῖα, βαρεῖα, περισπωμένη· κυρίως δὲ δύο, ἡ ὀξεῖα καὶ ἡ περισπωμένη. Ἡ γὰρ βαρεῖα συλλαβικός ἐςι τόνος, καὶ οὐ κύριος. Σχολ. εἰς Δ. τὸν Θρᾷκα. αὐτ.

(3) Καὶ οἱ χρόνοι τάσιν ἔχουσι, καθ' ὃ ὁ μὲν ἐκτείνεται, ὁ δὲ συςέλλεται. Πορφ. ἔνθ. ἀν. σ. 105.

(4) Τὸ μὲν τῶν πνευμάτων, ἡ δασεῖα, ἐκ τοῦ θώρακος πρόεισιν ἐπιτεταμένως, τὸ δὲ, ἡ ψιλὴ, ἐξ ἄκρων τῶν χειλέων συνεςαλμένως. Πορφ. ἔνθ. ἀν. σ. 105.

(5) Τὰ πάθη οὐκ εἰσὶ κυρίως προσῳδίαι, ἀλλὰ καταχρηςικῶς. Πορφ. ἔνθ. ἀν. σ. 107.

(6) Οὐ γὰρ ἁπλῶς τὰ φωνήεντα ἢ ψιλοῦνται, ἢ δασύνονται, ἀλλ' ὅτε κατ' ἀρχὰς τῶν λέξεων τίθενται..... Ζητεῖται δὲ διατὶ μὴ ἀπὸ δύο πνευμάτων γίνεται πνεῦμα; Φαμὲν οὖν ὅτι, ἐπεὶ ἡ μὲν δασεῖα ἐκ τοῦ θώρακος ἐκπέμπεται, ἡ δὲ ψιλὴ ἐξ ἄκρων τῶν χειλέων (πολὺ γὰρ τὸ μέσον ἐςὶν ἀμφοτέρων) εὐλόγως οὐ δύναται συναρθῆναι ἀλλήλων (ἴσ. συναφθῆναι ἀλλήλοις). Πορφ. ἔνθ. ἀν. σ. 114.

(7) Ἔνιοι δὲ δασέως ἀναγινώσκουσι τὸ ἄωρος, ἵνα εἶεν ἄωροι οἱ κληροὶ καὶ ὠμοὶ, ἐκ μεταφορᾶς τῶν ἀώρων καὶ μὴ πεπόνων..... Ὅτι δὲ οἱ παλαιοὶ καὶ ἐν μέσῳ λέξεων ἐπνευμάτιζον, καὶ ἡ Ἰλιὰς δηλοῖ. Εὐςάθ. Παρεκβ. Ὀδυσ. σ. 478. Ἰδὲ καὶ §. λέ. σημ. 2. Ἐκ τούτων δ' ἐςὶ πρόδηλον, ὡς καὶ

§. 123. Dividuntur vero prosodiæ in accentus (1); ut *acutus*, *gravis* (2), et *circumflexus*; in *tempora* (3); ut *longum* et *breve*; in *spiritus*; ut *asperus* et *tenuis* (4); et in *passiones* (5); ut *apostrophus*, ὑφὲν, *hypodiastole*, et *signum divisionis*. Et accentus quidem in vocalibus solummodo ponuntur; temporibus vero olim in ancipitibus vocalibus utebantur (§. 122. adnot. 1), atque spiritus nunc in solis initialibus vocalibus ponuntur (6); quondam autem etiam in illis, quæ in medio dictionis sunt (7). Ex omnibus vero consonantibus ρ sola, dum in initio

est L... Dum vero pro longa, idem inversum ita ┐. Dem. Triclin.

(1) Accentus est extensio, aut remissio, aut medietas syllabæ.... Et acutus quidem est qualitas syllabæ intensum tonum habens; gravis vero qualitas syllabæ remissum tonum habens; ac circumflexus qualitas syllabæ complexum vel refractum tonum habens. Dixit vero complexum illum, qui acuto et gravi participat; refractum autem, qui ab acuto in gravem fluit. Porphyr. l. c. p. 109.

(2) Accentus gravis est tonus syllabicus, id est in syllaba proprium tonum non habente ponitur...... Omnis etiam syllaba, præter illam, quæ proprium tonum habet, accentum gravem accipit... Proprius vero tonus vocatur accentus acutus, quia intendit vocem. Porphyr. l. c. p. 111. Quot accentus sunt? improprie quidem tres: acutus, gravis et circumflexus; proprie vero duo: acutus et circumflexus. Gravis enim est syllabicus ac non proprius tonus. Schol. in Dion. Thrac. ib.

(3) Etiam tempora habent intensionem, ex eo quod unum extenditur, alterum contrahitur. Porphyr. l. c. p. 105.

(4) Ex spiritibus unus (asperus) ex pectore cum intensitate, alter (tenuis) ex extremitate labrorum contracte prodit. Porph. l. c. p. 105.

(5) Passiones non proprie, sed abusive sunt prosodiæ. Porphyr. l. c. p. 107.

(6) Vocales enim non simpliciter spiritum tenuem vel asperum accipiunt; sed dum initio dictionum ponuntur... Inquiritur cur ex duobus spiritibus non fiat spiritus? Dicimus igitur quod, cum spiritus asperus ex pectore excutiatur, tenuis vero ex labiorum extremitate (magnum enim intervallum inter utrumque est): unum cum altero commisceri nequit. Porphyr. l. c. p. 114.

(7) Nonnulli vero aspirate legunt ἄωροι, ut ἄωροι duri, rudes ac crudeles sint, per metaphoram ab immaturis ac non coctis... Quod vero veteres et in medio dictionis spiritibus utebantur, Ilias quoque adnotat. Eust. Parecb. Odys. p. 478. Vide et §. 35. adnot. 2. Ex hisce vero manifestum est, quod etiam tempore Eustathii

Digitized by Google

ἐν ἀρχῇ λέξεως ὂν δασύνεται· δυεῖν δὲ ὄντων, τὸ μὲν πρῶτον ψιλοῦται, τὸ δὲ δεύτερον δασύνεται (8)· πάλαι δὲ καὶ ἐπὶ τῷ μοναδικῷ ῥ, ἐν μέσῳ λέξεως ὄντι, ὁτὲ μεν δασεῖαν, ὁτὲ δε ψιλὴν ἐπετίθουν (9), καὶ ἐπὶ ἄλλων δὲ συμφώνων ὡσάυτως (10). Τῶν δὲ παθῶν τῇ μὲν ἀποςρόφῳ (11) ἐπὶ τῶν ἔκθλιψιν ςοιχείου πασχουσῶν λέξεων χρώμεθα (12)· ἡ δ' ὑφὲν νῦν μὲν ἐν τῇ συνθέσει δυεῖν λέξεων, ὅτε αὗται ἅμα ὀφείλουσι λέγεσθαι, τίθεται· οἷον Κωνςαντινούπολις· πάλαι δὲ καὶ ἐν δύο λέξεσι συνημμένην διάνοιαν ἐπαγγελλομέναις (13). Ἡ δὲ ὑποδιαςολὴ καθ' ἡμᾶς μὲν

ἐπὶ Εὐςαθίου διαφοράν τινα ἐν τῇ ἐκφωνήσει τῶν δασυνομένων καὶ ψιλουμένων ἐποίουν.

(8) Τὸ ρ ἐκ πάντων τῶν φωνηέντων καὶ ψιλοῦται καὶ δασύνεται, ὅτι φωνήεντος δύναμιν ἔχει. (§. ιά. σημ. 4.) Πορφ. ἔνθ. ἀν. σ. 114. Ἰδὲ καὶ Σχολ. Ἡφαις. Ὁ δὲ Βαρῖνος τοῦτο οὐκ ἀποδέχεται. Ἐν ἀρχῇ τοῦ Ρ.

(9) Οἱ ἀρχαῖοι Γραμματικοὶ τὸ μὲν μετὰ ψιλοῦ εὑρισκόμενον ρ ἐψίλουν, τὸ δὲ μετὰ δασέος, ἐδάσυνον. οἷον τὸ Ἀτρεὺς καὶ κάπρος ἐψίλουν, τὸ δὲ χρόνος ἀφρὸς, θρόνος ἐδάσυνον. Πορφ. ἔνθ. ἀν. σ. 114. Ἰδὲ καὶ §. λέ. σημ. 2.

(10) Ἰςέον δὲ ὅτι τοῖς μὲν τρισὶ ψιλοῖς συμφώνοις ψιλὸν πνεῦμα ἐπετίθετο, τοῖς δὲ τρισὶ δασέσι πνεῦμα δασύ. Τοῦ τοίνυν χάζω κατὰ τὸν λόγον τοῦτον δασυνομένου, τὸ δασὺ πνεῦμα ἐναπέμεινε τῷ α, μετὰ τὴν τοῦ δασέος χ ἀποχώρησιν. Εὐςάθ. Παρεκβ. Ἰλ. σ. 21.

(11) Ἀπόστροφός ἐςι σημεῖον ἐκθλίψεως φωνήεντος, ἢ φωνηέντων· ὑφὲν σημεῖον συναφείας δύο λέξεων συγκειμένων, ἢ παρακειμένων· ὑποδιαςολὴ σημεῖον διαςάσεως γράμματος ἀμφιβαλλομένου περὶ τὴν σύνταξιν. Σχολ. εἰς Διον. τὸν Θρᾶκα ἔνθ. ἀν. τ. 108.

(12) Παρὰ μὲν Συγγραφεῦσι τὸ α, ε, ι καὶ ο ἔσθ' ὅτε πάσχουσιν ἔκθλιψιν, παρὰ δὲ Ποιηταῖς καὶ ἔνιαι τῶν διφθόγγων, καὶ πάντα μονονοὺ τὰ φωνήεντα. Καὶ ἡ μὲν αι θαμινὰ ἐκθλίβεται·

» Βούλομ' ἐγὼ λαὸν σῶον ἔμμεναι, ἢ ἀπολέσθαι.
» Μέμναμ' ὦ φθονερὸν καὶ ἀπρεπὲς ἀνδρίον αὔτως.
» Βλέπων πεπαίδευμ' εἰς τὰ τῶν ἄλλων κακά.

ἡ δὲ οι σπανιώτερον· οἷον οἴμ' ὡς ἄχθομαι·

» Ὅς μ' ἔθελε φιλότητι μιγήμεναι οὐκ ἐθελούσῃ·

σπανιωτάτως δὲ ἄλλη τις τῶν διφθόγγων, ἢ τὰ μακρὰ φωνήεντα·

» Ἁ δ' ὁδὸς ἄτρυτος, τὺ δ' ἑκαςοτέρω ἔμ' ἀποικεῖς. (ου)
» Εἰλαπίν', ἠὲ γάμος· ἐπεὶ οὐκ ἔρανος τάδε γ' ἐςί. (η)
» Μήτε σὺ Πηλείδ' ἤθελε ἐριζέμεναι βασιλῆϊ. (η)

Καὶ τὰ ιν ἐνίοτε ἔν τε ὀνόμασι καὶ ῥήμασι παρὰ Ποιηταῖς· οἷον ὅσοι θεοὶ εἴσ' ἐν ὀλύμπῳ· ὃ δὴ καὶ παρὰ Συγγραφεῦσιν ἔσθ' ὅτε, ἀντὶ τοῦ ἔςιν ὅτε.

(13) Ἐπὶ τῶν ἐκ τέλους ἀρχο-

vocabuli est, asperatur; quod si duæ sint, prima acuitur, secunda accentum asperum accipit (8); quondam autem et in sola ρ, dum in medio dictionis erat, nunc spiritum tenuem, nunc asperum ponebant (9); necnon in nonnullis aliis consonantibus (10). Ex passionibus vero apostropho (11) quidem in vocabulis, quæ elisionem literæ patiuntur, utimur (12); ὑφὲν vero nunc in compositione duarum dictionum, dum hæ simul legi debent, ponitur: ut Κωνςαντινούπολις; olim autem etiam in duabus dictionibus connexum sensum habentibus (13),

differentiam quandam in prolatione asperum et acutum spiritum habentium literarum faciebant.

(8) Ex omnibus vocalibus ρ acuitur et asperatur; quoniam vocalis vim habet. Porphyr. l. c. p. 114. (§. 11. aduot. 4.). Vide et Schol. Hephæst. Varinus vero hoc non approbat. in initio P.

(9) Prisci Grammatici in ρ, quod cum tenui consonante erat, spiritum tenuem; in illo vero, quod cum aspera erat, asperum ponebant. Α'τρὶὺς nempe et κάπρὸς acuebant; χῥόνος vero, ἀφῥὸς, Θῥόνος asperabant. Porphyr. l. c. p. 114. Vide et §. 35. adnot. 2.

(10) Scire oportet quod in tribus tenuibus consonantibus spiritus tenuis, in tribus vero asperis asperus ponebatur. Cum igitur juxta hanc rationem χάζω spiritum asperum haberet: recessa litera aspera χ, in α spiritus asperus derelictus est. Eustat. Parecb. Il. p. 21.

(11) Apostrophus est signum elisionis vocalis, vel vocalium; ὑφὲν signum contractionis duarum dictionum compositarum, vel adjacentium; hydodiastole signum diductionis literæ ambiguæ in constructione. Schol. Dion. Thrac. l. c. p. 108.

(12) Apud soluta oratione utentes Auctores α, ι, ο et ε elisionem nonnunquam patiuntur; apud Poëtas vero et nonnullæ diphthongorum, et omnes fere vocales. Et αι quidem sæpe eliditur,

» Βούλομ' ἐγὼ λαὸν σῶον ἔμμεναι, ἢ ἀπολέσϑαι.

» Μέμναμ' ὦ φϑονερὸν καὶ ἀπρεπὲς ἀνδρίον αὔτως.

» Βλέπων πεπαίδευμ' εἰς τὰ τῶν ἄλλων κακά.

οι vero rarius; ut οἴμ' ὡς ἄχϑομαι.

» Ὅς μ' ἔϑελε φιλότητι μιγήμεναι οὐκ ἐϑελούσῃ.

rarissime vero alia quædam diphthongorum, vel longæ vocales;

» Ά δ' ὁδὸς ἄτρυτος, τὺ δ' ἑκαςοτέρω ἔμ' ἀποικεῖς. (ου)

» Εἰλαπίν' ἠὲ γάμος· ἐπεὶ οὐκ ἔρανος τάδε γ' ἐςί. (η)

» Μήτε σὺ Πηλεΐδ' ἤϑελε ἐριζέμεναι βασιλῆϊ. (η)

Etiam literæ ν nonnunquam in nominibus ac verbis apud Poëtas: nempe ὅσοι ϑεοὶ εἴσ' ἐν ὀλύμπῳ; quod et apud solutæ orationis Auctores aliquoties occurrit, ut ἔσϑ' ὅτε pro ἔστιν ὅτε.

(13) In vocabulis quæ a fine in-

ἐν μόνῳ τῷ ὅ,τε καὶ ὅ,τι τίθεται· οἱ δὲ παλαιοὶ καὶ ἐν ἄλλοις τισιν αὐτῇ ἐχρῶντο· οἷον ἔςιν, οὗς, καὶ ἔςιν, ἄξιος, πρὸς διαφορὰν τοῦ ἔςι νοῦς, καὶ ἔςι Νάξιος, κ. τ. λ. Τὸ δὲ τῆς διαιρέσεως σημεῖον τὴν ἐν διαιρέσει τῶν διφθόγγων, ἢ ἄλλων τινῶν φωνηέντων ἀνάγνωσιν δείκνυσιν· οἷον ἀΐδης, ἀϋτὴ (14), Ὀρφεϊ, ἐΰς, ὀϊςὸς, ἐλόϋεν (ἀντὶ ἔλουεν), ἠΰς, πῶϋ, ληϊςὴς, λωΐον, μυΐνδα, κ. τ. λ.

§. ρκδ'. Τόπος δὲ τῆς μὲν βαρείας πᾶσαι αἱ τῆς λέξεως συλλαβαί· πάλαι γὰρ τὸ τῆς βαρείας σημεῖον ἐπὶ πασῶν τῶν συλλαβῶν, χωρὶς τῆς ὀξυνομένης, ἐτίθετο (§. ρκγ'. σημ. 2) (1)· τῆς δὲ περισπωμένης τόπος ἡ λήγουσα καὶ ἡ παραλήγουσα· τῆς δ' ὀξείας ἡ λήγουσα, παραλήγουσα καὶ προπαραλήγουσα, καὶ πλέον οὔ· ὅτι οὐκ ἔςι τάσις πρὸ τριῶν συλλαβῶν (2). Τὸ γὰρ τῶν διαλέκτων μέλος οὐ πέρα τῶν τριῶν τόνων καὶ ἡμιτονίου ἐκτείνεται (3). Αὖθις ἡ μὲν ὀξεῖα καὶ βαρεῖα ἐπὶ τῶν μακρῶν φύσει ἢ

μένων συνθέτων μάλιςα χρὴ τιθέναι τὴν ὑφέν· ἐπειδὴ διαφορεῖσθαι (ἀνάγνωθ. διφορεῖσθαι) συμβαίνει τὰ τοιαῦτα. Περιττὸν γὰρ οἶμαι τιθέναι τοῖς ἐξ ἀπολείποντος, ὥσπερ καὶ τοῖς παρασυνθέτοις, ἅπερ εἰσὶν ὡς εἰπεῖν ἁπλᾶ. Παράγεσθαι γὰρ ἀρξάμενα, γενέσεως ἑτέρας ἐπιλαμβάνεται· οἷον Φιλιππίδης, οὐ χρὴ τιθέναι τὴν ὑφέν, διότι παρασύνθετον ἐςί. Τὸ δὲ αὐτὸ κἂν ταῖς ἐπεκτάσεσι, καὶ ταῖς ἀχωρίςοις συντάξεσι νοείσθω, Παλήναδε, Μεγάραδε, δηλαδὴ, τοίνυν, τοιγάρτοι, τοιγαροῦν. Οὕτω γὰρ οἶμαι ἔχειν καὶ τὸ οὐδεὶς ἐκ τριῶν μερῶν λόγου, χωρὶς ἀποςρόφου καὶ διαςολῆς. Ὑποτακτικὰ δὲ τῇ ὑφὲν καὶ τὰ ἐν συναλοιφῇ λεγόμενα, οἷον κἀγὼ· καὶ τὰ ἐν δύο λέξεσι συνημμένην διάνοιαν ἐπαγγελλόμενα, οἷον τοξόταλωβητὴρ, πυλάρταο κρατεροῖο, κ. τ. λ. μία γὰρ ἐκ τῶν δύο λέξεων ἐςὶν ἡ διάνοια. Πορφ. ἔνθ. ἀν. σ. 117.

(14) Ἐνταῦθα τὸ α, καὶ υ οὐκ ἐκ διαλύσεως τῆς αυ διφθόγγου, ἀλλὰ πρωτοτύπως εἰσί.

(1) Ἰδὲ Villoison ἐν Προλεγ. Ἰλιάδ.

(2) Οὐκ ἔςι τάσις πρὸ τριῶν συλλαβῶν, ὅτι ἀδύνατόν ἐςιν ἐκταθῆναι τὴν φωνὴν, πέρα τοῦ τοιούτου μέτρου, ἤτοι πρὸ τριῶν συλλαβῶν ὀξυνθῆναι· ἔπειτα οὐδὲ λέξις ἑλληνικὴ, θεματικὴ, ἁπλῆ, πρωτότυπος ὑπερβαίνει τὴν τρισυλλαβίαν. Πορφ. ἔνθ. ἀν. σ. 110.

(3) Μέχρι γὰρ τριῶν διέσεων ἡ φωνὴ δύναται συνείρειν. Ἀριςόξ. Ἁρμονικ. Στοιχ. Β. Β'. σ. 53. Διαλέκτου μὲν μέρος ἑνὶ μετρεῖται διαςήματι τῷ λεγομένῳ διὰ πέντε ὡς ἔγγιςα, καὶ οὔτε ἐκτείνεται πέρα τῶν τριῶν τόνων καὶ ἡμιτονίου ἐπὶ τὸ ὀξὺ, οὔτε ἀνίεται τοῦ χωρίου τούτου πλεῖον ἐπὶ τὸ βαρύ. Οὐ μὴν ἅπασά γε ἡ λέξις, ἡ καθ' ἓν μόριον λόγου ταττομένη, τῆς αὐτῆς λέγεται τάξεως· ἀλλ' ἡ μὲν

Digitized by Google

Atque hypodiastole nunc solummodo in ὅ, τε, et ὅ, τι ponitur; veteres vero et in aliis vocabulis eadem utebantur: ut ἔςιν, οὖς, ἔςιν, ἄξιος, ut ab ἔςι νοῦς, ἔςι Νάξιος distinguantur, etc. Signum vero divisionis divisam diphthongorum, vel aliarum quarundam vocalium lectionem indicat; ut ἀΐδης, ἀϋτὴ (14), Ὀρφεΐ, ἐΰς, ὀϊςὸς, ἐλόϋεν (pro ἔλουεν), ἠΰς, πῶϋ, ληϊςὴς, λώϊον, μυΐνδα, etc.

§. 124. Locus vero accentus gravis omnes dictionis syllabæ sunt; olim enim signo accentus gravis in omnibus syllabis, præter illam quæ acuebatur, ponebant (§. 123. adnot. 2.) (1). Circumflexus vero locus est ultima ac penultima; sicut et acuti ultima, penultima et antepenultima, et non ulterius; quia non est ante tres syllabas extensio (2); siquidem dialectorum modulatio non plus tribus tonis ac dimidio intenditur (3).

cipiunt, præcipue ponenda est ἡ ὑφὲν; quia hæc duplici modo accipi possunt. Siquidem superfluum esse existimo illam ponere tum in incipientibus a deficiente, cum in decompositis, quæ quasi simplicia sunt. Cum enim derivari inceperint, alteram originem habent; ut Φιλιππίδης ἡ ὑφὲν poni non debet, quia decompositum est. Idem et de extensionibus et de inseparabilibus constructionibus intelligendum est: Παλίνδε, Μεγάραδε, δυλαδὴ, τοίνυν, τημάρτει, τοιγαροῦν. Ita mihi esse videtur et οὐδεὶς, quod cum ex tribus partibus sermonis compositum sit, apostropho ac diastole caret. Subscribenda vero ἡ ὑφὲν est etiam illis, quæ in synalœpha leguntur, ut κἀγώ; et quæ in duabus dictionibus complexum sensum habent; ut πρότα λωβητὴρ, φυλάρται χαρτηρίαι, etc. Unus enim duarum dictionum est sensus. Porphyr. l. p. 117.

(14) Hic α et υ non ex dissolutione diphthongi αυ, sed primitive sunt.

(1) Vide de Villoison in Proleg. Iliad.

(2) Extensio ante tres syllabas non datur; quia fieri non potest ut ultra hanc mensuram vox extendatur, ut nempe ante tres syllabas acuatur; nec est alioquin dictio græca, originalis, simplex, primitiva, quæ tres syllabas transgreditur. Porphyr. l. c. p. 110.

(3) Ad tres enim dieses vox continuando pervenire potest. Aristox. Harmon. Element. L. II. p. 53. Dialecti modulatio uno utplurimum mensuratur intervallo διὰ πέντε dicto, ita ut neque plus tribus tonis cum dimidio intendatur ad acutum, neque majori distantia ad gravem accentum deprimatur. Nec vero omnis dictio, quæ una scilicet orationis particula effertur, ejusdem intensionis esse dicitur; sed

X

θέσει, καὶ τῶν βραχέων, καὶ τῶν διχρόνων φωνηέντων, καὶ τῶν διφθόγγων τίθενται, ἡ δὲ περισπωμένη, ἢ ἐξ ὀξείας καὶ βαρείας

ἐπὶ τῆς ὀξείας, ἡ δὲ ἐπὶ τῆς βαρείας, ἡ δ' ἐπ' ἀμφοῖν. Τῶν δὲ ἀμφοτέρας τὰς τάσεις ἐχουσῶν, αἱ μὲν κατὰ μίαν συλλαβὴν συνεφθαρμένον ἔχουσι τῷ ὀξεῖ τὸ βαρὺ, ἃς δὴ περισπωμένας καλοῦμεν, αἱ δὲ ἐν ἑτέρῳ τε καὶ ἑτέρῳ χωρὶς, ἑκάτερον ἐφ' ἑαυτὸ τὴν οἰκείαν φυλάττον φύσιν. Καὶ ταῖς μὲν δισυλλάβοις οὐδὲν τὸ διὰ μέσου χωρίον βαρύτητος καὶ ὀξύτητος· ταῖς δὲ πολυσυλλάβοις, οἷαί ποτ' ἂν ὦσιν, ἡ τὸν ὀξὺν τόνον ἔχουσα μία ἐν πολλαῖς βαρείαις ἔνεστι. Διον. Ἁλικαρν. ἐνθ. ἀν. σ. 17. Ὁ κλεινὸς Villoison (ἐν Ἀνεκδ. Ἑλληνικ. σ. 127.) πρὸς τοῖς ἄλλοις καὶ Σίμωνος Πορτίου μέμνηται ἐν τῷ β'. κεφ. τῆς Γραμματικῆς τῆς νεωτέρας Ἑλληνικῆς λέγοντος, ὅτι οἱ νεώτεροι Ἕλληνες τοὺς τόνους πολλάκις μὲν εἰς τὴν τετάρτην, ἐνίοτε δὲ καὶ εἰς τὴν πέμπτην συλλαβὴν ἀναῤῥίπτουσιν, οἵ γε ὑπὸ τῶν ἀρχαίων Ἑλλήνων περαιτέρω τῆς προπαραληγούσης ἀναῤῥιφθῆναι οὐκ εἶχον. Ὅσης ἀτοπίας ταυτί γε ἔχεται, λόγοις ἐκθεῖναι οὐχ οἷόν τε. Ὅτι γὰρ ἀδύνατόν ἐστι τὴν φωνὴν πέρα τῶν τριῶν συλλαβῶν ἐκταθῆναι, ἐκ τῶν προειρημένων αὐτάρκως ἔγνωσαι, ἕκαστός τε μικρὸν ἑαυτῷ προσχὼν εἴσεται. Ἀνάγκη οὖν ὁμολογῆσαι ἢ ὅτι τὰ φωνητικὰ τῶν ἐπὶ Πορτίου Ἑλλήνων ὄργανα διάφορα τῶν ἀρχαίων καὶ τῶν καθ' ἡμᾶς ἦν, ἢ ὅτι τὰ Πορτίου ὦτα διαφόρως τῶν πάντων ἀνθρώπων κατεσκεύαστο. Ἐπεὶ δὲ ἄμφω τῇ φύσει τῶν ἀνθρώπων ἀδύνατα· ἔχοι ἂν τις ὀρθῶς συμπεράναι, ὡς ὁ γεννάδας Πόρτιος τὴν ἀκοὴν καὶ φαντασίαν νοσῶν, τόνους ἀνυπάρκτους καὶ φύσει ἀδυνάτους ἐν τῇ τετάρτῃ καὶ πέμπτῃ συλλαβῇ παρήκουεν, ἢ ὡς ἐθελοκακῶν ἐψεύσατο. Ὀρθότερον ταῦτα Π. Φ. Θωμᾶς συνεῖδεν. Εἰπὼν γὰρ ὡς ἐν τῇ νεωτέρᾳ Ἑλληνίδι ἡ ὀξεῖα καὶ ἐπὶ τῇ τετάρτῃ συλλαβῇ τίθεται, οἷον ἐν τῇ λέξει ἐσκοτείνιασεν, ἐπιφέρει· « Ἐκτὸς εἰ μὴ εἴποι τις ὡς τοῦ ι τῷ α, ἢ ἄλλῳ τινι φωνήεντι εἰς δίφθογγον ἑνουμένου, ἡ λέξις ἐσκοτείνιασε τρισύλλαβος γίνεται ». (Νέα μέθοδος τῆς κοινῆς Ἑλληνικῆς σ. 33). Τὰ γὰρ στοιχεῖα ια ἐν ταῖςδε λέξεσιν ὡς μία συλλαβὴ προφέρονται· διὸ ἀεὶ αὐτοῖς ἡ ὑφὲν ὑποτίθεται, οἷον ἐσκοτείνιασε, τὴν ἐν μιᾷ συλλαβῇ αὐτῶν δεικνῦσα ἐκφώνησιν. Ἀλλ' ἐπανιτέον ὅθεν ἐξήλθομεν. Ἐκ τούτων οὖν τῶν προφανῶς ψευδῶν τοῦ Πορτίου λόγων τὸ ψευδὲς τοῦτο συμπέρασμα (ἀδύνατον γὰρ μὴ οὐχὶ εἶναι ψευδὲς τὸ συμπέρασμα, τῶν ἡγουμένων τοιούτων ὄντων) Villoison συνάγων φησίν. « Εἰ οὖν οἱ νεώτεροι Ἕλληνες τόδε τὸ τῆς προφορᾶς μέρος, ὃ ἐν τοῖς τόνοις κεῖται, διέφθειραν, πῶς καὶ τὴν εἰς τὰ γράμματα τείνουσαν οὐ διέφθειραν »; Καὶ ἐν ἄλλοις δὲ ὁ σοφὸς οὗτος ἀνὴρ αὐτὸς ἑαυτῷ οὐχ ὑπάρχει σύμφωνος· ἐν γὰρ τῇ 124, καὶ 126 σελ. τὸ η ὡς μακρὸν ε πρὸς τῶν ἀρχαίων Ἑλλήνων ἐκφωνεῖσθαι εἰπὼν, ἐν τῇ 127 παλινῳδίαν ᾄδει· φησὶ γάρ. « Μάλιστα εἰ ἔξεστι τὴν ἐμὴν γνώμην ἐκθεῖναι, ἔγωγε πιστεύω ὅτι καὶ ἐπὶ τῶν παλαιοτάτων Ἑλλήνων τὸ η οὔτε ὡς τὸ ε, οὔτε

Iterum accentus acutus ac gravis in longis φύσει vel θέσει, et in brevibus et ancipitibus vocalibus et diphthongis ponuntur,

alia gravem, alia acutam, alia vero utramque recipit. Quæ vero utramque intensionem admittunt, earum nonnullæ in una syllaba commistum habent cum acuto gravem, qui vocantur accentus circumflexi. Quædam alio atque alio loco seorsim utrumque habent, qui propriam per se potestatem conservant. Et quidem in dissyllabis nullus in medio locus est aut gravi, aut acuto accentui; sed in polysyllabis, qualescunque tandem fuerint, una est inter multos graves, quæ acutum habet accentum. Dion. Halicarn. l. c. p. 17. Celeberrimus de Villoison (in Anecd. Græc. p. 127.) præter alios etiam Simonis Portii mentionem facit, in II. cap. Grammaticæ linguæ græcæ vulgaris dicentis, recentiores Græcos sæpe in præantepenultimam, et nonnunquam in quintam syllabam rejicere accentus; qui a veteribus non longius rejici poterant, quam in antepenultimam. Quantum hæcce absurda sint, verbis exponere nequeo. Quod enim fieri non possit ut vox ultra tres syllabas extendatur, ex prædictis satis est demonstratum; quod et quilibet paulo sibi attentus noscet. Necesse est itaque confiteri vel quod tempore Portii viventium Græcorum vocalia organa ab organis antiquorum et nunc exsistentium different; vel quod aures Portii diverse quam aures omnium hominum fabricatæ essent. Cum vero utrumque naturæ humanæ sit impossibile: recte quidam concludere possit, quod Portius auditu imaginationeque laborans, accentus non exsistentes, naturaque impossibiles in quarta et quinta syllaba male audiret; vel quod consulta ignavia mentitus sit. Rectius hæc P. F. Thoma perspexit. Nam postquam dixerit in lingua græca vulgari accentum acutum etiam in quarta syllaba adhiberi, ut in dictione ἰσκοτείνιασι, postponit: »Nisi dicamus, juncta litera ι cum litera α, aut alia vocali in modum diphthongi: tunc verbum istud ἰσκοτείνιασι fore tantum trisyllabum» (Nova Methodus linguæ græcæ vulgaris. p. 33). Nam elementa ια in hisce vocabulis ut una syllaba pronunciantur; ideo sub iis ἡ ὑφὲν semper ponitur, ἰσκοτείνιασιν, in una syllaba pronuncianda esse eadem indicans. Sed revertendum unde digressi sumus. Ex hisce igitur aperte mendacibus Portii verbis mendacem hanc conclusionem (fieri enim non potest quin illa non mendax sit, cum talia sint præcedentia) de Villoison colligens dicit. » Si autem recentiores Græci eam pronunciationis partem, quæ in accentibus posita est, corruperunt; cur non et eam, quæ ad literas pertinet? » Etiam in aliis hic eruditus vir non sibi ipsi concordat; licet enim in pag. 124 et 126 » ut longum ι a veteribus Græcis pronunciari dixerit: in 127 recantatio-

γέγονεν (4), οὔτε ἐπὶ μακρῶν πρὸ ἄλλου μακροῦ ὄντων, οὔτε ἐπὶ θέσει μακρῶν, οὔτε ἐπὶ βραχέων (5), οὔτε ἐπὶ διχρόνων βραχέως λαμβανομένων, ἀλλ' ἐπὶ φύσει μακρῶν, καὶ ἐπὶ διχρόνων ἐκτεινομένων, ὅτε ταῦτα πρὸ βραχέος οἱουδηποτοῦν ἐςὶ, τίθεται.

§. ρκε'. Τούτων δὲ οὕτως ἀφωρισμένων καὶ εἰλημμένων, περὶ τῆς αὐτῶν ἐκφωνήσεως, μάλιςα τῶν πνευμάτων καὶ τῆς περισπωμένης, εἴη ἂν ἡμῖν πειρατέον ὑποτυπῶσαι, τί ποτ' ἐςὶν ἡ φύσις αὐτῆς ἐξετάζοντας. Τὴν μὲν γὰρ ὀξεῖαν καὶ βαρεῖαν καὶ νῦν τοῖς ςοιχείοις συνεκφωνοῦμεν· τῶν δὲ χρόνων ἡ προφορὰ πρόδηλος· τὰ δὲ πάθη οὐδοτιοῦν εἰς τὴν τῶν ςοιχείων ἐκφώνησιν

ὡς τὸ ι λίαν καθαρῶς ἤχει, ἀλλ' ὅτι ὁ τούτου ἦχος μέσος τις τοῦ τῶν δύο ἐκείνων φωνηέντων ἦν. Οὗτος οὖν ὣς ἑκατέρου τῶν γραμμάτων μικρόν τι διαφέρων, καὶ κατὰ τοὺς διαφόρους τόπους καὶ ἀνθρώπους νῦν μὲν τῷδε, νῦν δ' ἐκείνῳ πλησιαίςερον προσπελάζων, διὰ τοῦτο καὶ συγχύσει ὑπέκειτο, ἣν ὕςερον εἰσήγαγεν ἡ τοῦ ἀπαιδεύτου αἰῶνος ἀμέλεια. Ταύτην δὲ τὴν σύγχυσιν οὐδ' οἱ τῶν προτέρων αἰώνων ἀμαθεῖς καὶ ἀγροῖκοι τῶν ἀνθρώπων καθάπαξ φυγεῖν ἐδύναντο· μόνοις γὰρ τοῖς τῶν παλαιοτάτων Ἑλλήνων, κἀν τούτοις τῶν μᾶλλον ἀςείων τε καὶ πεπαιδευμένων εὐπαθέσι καὶ προσεκτικοῖς ὠσὶν ἀηδίαν ἐνεποιεῖτο, ὡς τῇ μακρᾷ πείρᾳ, ἣ ὕςερον ἐξέλιπεν, ἐγγεγυμνασμένοις ὑπάρχουσιν. » (ὅρα §. νή.). Ἐνταῦθα δ' ὁ αὐτὸς διά τε τῶν κοπτικῶν γραμμάτων (§. μς'.) καὶ ἄλλων πολλῶν ἐπιχειρημάτων ἀποδείκνυσιν, ὅτι ἡ ἐπὶ τοῦ θ'. ἀπὸ Χριςοῦ αἰῶνος ἐν χρήσει οὖσα ἑλληνικὴ προφορὰ (§. λ'. σημ. 1.) (ἥτις ἡ αὐτὴ τῇ καθ' ἡμᾶς ἐςὶ) πολλῷ ἔτι παλαιοτέρα ἦν. Ἀλλ' εἴ γε ἐν πλείοσιν ἢ δέκα αἰῶσιν ἄνευ τινος αἰσθητῆς μεταβολῆς ἄχρις ἡμῶν ἡ προφορὰ διεσώθη, καὶ ταῦτα ἐν τοῖς ἐσχάτοις καιροῖς τοσούτων δεινῶν τῷ ἑλληνικῷ Γένει συμβάντων· πῶς οὐ πιςευτέον καὶ τὴν ἐπὶ τοῦ χρυσοῦ αἰῶνος ἐκφώνησιν ἄχρι τοῦ Θ'. αἰῶνος ἐν τοῖς Ἕλλησιν συντηρηθῆναι; ἐν ἐλευθερίᾳ μὲν βιοῦσι, πολλοὺς δὲ σοφοὺς ἄνδρας ἐν ἑαυτοῖς ἔχουσι, καὶ παγκοίνως τῇ ἀρχαίᾳ Ἑλληνίδι χρωμένοις;

(4) Ἡ ὀξεῖα καὶ βαρεῖα, κατὰ Γεώργιον Χοιροβοσκὸν, νῦν μὲν εἰς περισπωμένην, ὡς πάϊς παῖς, νῦν δὲ εἰς ὀξεῖαν, ὡς ζώὸς ζὼς συναιροῦνται· ἡ δ' ὀξεῖα καὶ αἱ δύο βαρεῖαι εἰς ὀξεῖαν, καὶ βαρεῖαν συνέρχονται, ὡς τειχὲὰ τειχῆ. ἔνθ. ἀν. σ. 110.

(5) Ἀδύνατον περισπωμένην βραχεῖαν γενέσθαι· διὰ τὸ τῷ περισπασμῷ κατ' ἀνάγκην συνυφίςασθαι τὴν ἐπέκτασιν. Σέξτος ἔνθ. ἀν. κ. έ. Ἐπὶ τῆς βραχείας περισπωμένη οὐ τίθεται· ὅτι ἡ βραχεῖα ἀσθενὴς οὖσα, οὐκ ἂν ἤνεγκε τὴν τῶν δύο τόνων δύναμιν. Πορφ. ἔνθ. ἀν. σ. 110.

circumflexus vero, qui ex acuto et gravi factus est (4), nec in longis vocalibus, quæ ante aliam longam sunt, nec in positione longis, nec in brevibus (5), nec in ancipitibus breviter acceptis; sed in natura longis, et in ancipitibus prolongatis, dum ante brevem qualemcunque sunt, ponitur.

§. 125. His autem ita determinatis peractisve: de pronunciatione eorum, spirituum præcipue et accentus circumflexi, conandum nobis fuerit brevem designationem objicere, quænam sit hujus natura inquirentes. Accentum enim acutum et gravem et nunc una cum literis proferimus; temporumque prolatio manifesta est; ac passiones nihil ad pronunciationem

nem, juxta proverbium, canit; dicit enim: » Imo si meam mihi sententiam exponere liceat, vel apud ipsos antiquissimos Græcos τὸ ι nec e nec i purum prorsus sonuisse credo; sed hujus quendam fuisse medium inter utramque vocalem sonum, eumque ab utraque litera tenui intervallo discretum, ac pro variis ac locis ac hominibus ad hanc aut illam propius accedentem; proindeque obnoxium confusioni, quam postea invexit incultioris ævi negligentia; quamque nec superiorum ætatum homines imperiti ac rudes omnino vitaverunt; cum illa non offendere posset, nisi solas antiquissimorum Græcorum, eorumque paulo urbaniorum ac humaniorum teretes ac religiosiores aures, longo usu, qui postea obsolevit, subactas. » (Vide §. 58.) Hic vero idem per copticas literas (§. 46), et per multa alia argumenta demonstrat, pronunciationem græcam nono a Christo seculo usitatam (§. 30. adnot. 1.) (quæ eadem cum nostra est) longe anteriorem fuisse. Atque si in plus quam decem seculis, absque sensibili quadam mutatione, ad nostrum usque tempus prolatio conservata fuerit; cum præsertim ultimis seculis tot calamitates nationi Græcæ acciderint: cur non credendum sit aureo seculo exsistentem prolationem usque ad nonum seculum apud Græcos conservatam fuisse; cum quidem in libertate viverent, multosque viros eruditos inter se haberent, et liugua græca universaliter uterentur?

(4) Accentus acutus et gravis, juxta Georgium Chœroboscum, nunc in circumflexum, ut πάϊς παῖς, nunc in acutum, ut ζώὸς ζώς, contrahuntur; porro unus acutus et duo graves in acutum et gravem coëunt, ut τέιχὲὰ. τείχὴ. l. c. p. 110.

(5) Syllaba circumflecta brevis fieri nequit, ex eo quod cum circumflexione necessario simul consistit productio. Sextus. l. c. c. 5. In brevi syllaba circumflexus non ponitur; quoniam brevis tanquam debilis non potuisset duorum accentuum vim sustinere. Porphyr. l. c. p. 110.

συνεβάλλετο. Ὅτι μὲν οὖν τὰ πνεύματα καὶ ἡ περισπωμένη διάφορον τὴν τῶν ςοιχείων, οἷς ἐπετίθεντο, ἐκφώνησιν ἀπειργάζοντο, πρὸς τοῖς κοινῇ εἰρημένοις καὶ πολλοὶ Συγγραφεῖς μαρτυροῦσιν· Οἷον Ἀριςοτέλης (§. ια'. σημ. 4). Καὶ Ἀριςόξενος.» Λέγεται γὰρ δὴ καὶ λογῶδές τι μέλος, τὸ συγκείμενον ἐκ τῶν προσῳδιῶν, τὸ ἐν τοῖς ὀνόμασι. Φυσικὸν γὰρ τὸ ἐπιτείνειν καὶ ἀνιέναι ἐν τῷ διαλέγεσθαι» (1). Καὶ Σέξτος. »Πῶς ἀναγνωςέον παρὰ Πλάτωνι τὴν ἦδ' ὅς λέξιν; πότερον ψιλῶς ἐκφέρεται τὴν πρώτην συλλαβὴν, ἢ δασέως; ἢ τὴν μὲν πρώτην ψιλῶς, τὴν δὲ δευτέραν δασέως· ἢ ἀμφοτέρας ψιλῶς, ἢ ἐναλλάξ» (2); Καὶ Διονύσιος Ἁλικαρνασσεύς. » Μουσικὴ γάρ τις ἦν καὶ ἡ τῶν πολιτικῶν λόγων ἐπιςήμη, τῷ ποσῷ διαφέρουσα τῆς ἐν ᾠδαῖς καὶ ὀργάνοις, οὐχὶ τῷ ποιῷ. Καὶ γὰρ ἐν ταύτῃ καὶ μέλος ἔχουσιν αἱ λέξεις, καὶ ῥυθμὸν, καὶ μεταβολὴν, καὶ πρέπον· καὶ ἐπὶ ταύτης ἡ ἀκοὴ τέρπεται μὲν τοῖς μέλεσιν, ἄγεται δὲ τοῖς ῥυθμοῖς, ἀσπάζεται δὲ τὰς μεταβολὰς, ποθεῖ δὲ ἐπὶ πάντων τὸ οἰκεῖον· ἡ δὲ μεταβολὴ κατὰ τὸ μᾶλλον καὶ ἧττον» (3). Καὶ Δημήτριος Φαληρεύς (§. ριά). Καὶ Ἀρκάδιος. » Οἱ χρόνοι, καὶ οἱ τόνοι, καὶ τὰ πνεύματα, Ἀριςοφάνους ἐκτυπώσαντος, γέγονε πρός τε διάκρισιν τῆς ἀμφιβόλου λέξεως, καὶ πρὸς τὸ μέλλον (ἴσ. μέλος) τῆς φωνῆς συμπάσης, καὶ τὴν ἁρμονίαν, ὡς ἐὰν ἐπᾴδοιμεν φθεγγόμενοι. Σκέψαι δ' ὡς ἕκαςον αὐτῶν φυσικῶς ἅμα καὶ οἰκείως, καθάπερ τὰ ὄργανα, ἐσχημάτιςαι καὶ ὠνόμαςαι· ἐπειδὴ καὶ ταῦτα ἔμελλε τῷ λόγῳ ὥσπερ ὄργανα ἔσεσθαι. Ἑώρακε γὰρ καὶ τὴν Μουσικὴν οὕτω τὸ μέλος καὶ τοὺς ἀριθμοὺς σημαινομένην· καὶ πῇ μὲν ἀνιεῖσαν, πῇ δ' ἐπιτείνουσαν· καὶ τὸ μὲν βαρὺ, τὸ δὲ ὀξὺ ὀνομάζουσαν. Εἰ δέ ποτε ἐπᾴδοιμεν, ἢ τέλεον ἐπιτείνοντες, ἢ πάλιν ἀνιέντες· τοῦτο σκληρὸν, τὸ δὲ μαλακὸν ἐκάλει· κατὰ τοῦτο καὶ ὁ Ἀριςοφάνης κ. τ. λ. » (4). Καὶ Διομήδης.» Οἱ παλαιοὶ ἄλλως ἐξεφώνουν τὸ α τὸ μακρὸν, καὶ ἄλλως τὸ βραχὺ, καὶ ἄλλως τὸ δασὺ, καὶ ἄλλως τὸ ψιλόν· ἐν δὲ χαρακτῆρι ἀπετύπουν τὸ πνεῦμα » (5). Καὶ Εὐςάθιος (§. ρκγ'. σημ. 7).

(1) Ἐνθ. ἀν. Β. Α'. σ. 18.
(2) Ἐνθ. ἀν. κ. γ'.
(3) Ἐνθ. ἀν. σ. 17.
(4) Παρὰ Villois. ἐν Ἐπις. Βιναρ. σ. 115.
(5) Ἐνθ. ἀν. σ. 187.

elementorum contribuebant. Quod quidem spiritus et circumflexus pronunciationem elementorum, in quibus ponebantur, diversam efficiebant, præter generaliter dicta, multi Auctores testantur. Nempe Aristoteles (§. 11. adnot. 4). Et Aristoxenus. « Dicitur enim et sermone aliquis fieri cantus, qui ex accentibus, quos in vocalibus habemus, componitur. Quippe naturale est intendere ac remittere in sermocinando » (1). Et Sextus. » Quomodo legenda sit apud Platonem dictio ἦδ' ὅς? an tenuiter proferatur prima syllaba, an aspirate? an prima quidem tenuiter, secunda autem aspirate? an ambæ tenuiter, an contra » (2)? Et Dionysius Halicarnasseus. » Est enim musica quædam et civilium orationum scientia; differt autem ab ea, quæ ad cantum instrumentaque pertinet, quantitate, non qualitate. Hac etenim in scientia admittunt dictiones modulationem, mutationem et decorum, ita ut ibi etiam concentu delectentur aures nostræ, rapiantur numeris, varietatem amplectantur, atque adeo super omnia desiderent quod proprium est; fit autem differentia ratione quantitatis intensæ remissæque habita » (3). Et Demetrius Phalereus (§. 111). Et Arcadius. » Tempora et accentus et spiritus, Aristophane effingente, facta sunt ad distinguendam ambiguam dictionem, et ad modulationem totius vocis, ac harmoniam, tanquam si nos loquendo cantemus. Observa autem quomodo hæc singula juxta naturam et apte sicut instrumenta formata et nuncupata sunt; nam et hæc vices instrumentorum in oratione actura erant. Vidit enim ille et Musicam, sic modulationem et numeros significantem; et modo quidem remittentem, modo vero intendentem; et illud grave, hoc autem acutum appellantem. Si vero quondam cantemus, aut valde intendentes, aut iterum remittentes: prius durum, posterius molle nuncupabat; juxta hoc et Aristophanes, etc. » (4). Et Diomedes. » Veteres aliter proferebant α longum, aliter breve, aliter asperum, et aliter tenue; spiritum vero characteribus depingebant » (5). Et Eustathius (§. 123. adnot. 7). Quod

(1) L. c. p. L. I. p. 18.
(2) L. c. c. 3.
(3) L. c. p. 17.
(4) Apud de Villoison. Epist. Vinariens. p. 115.
(5) L. c. p. 187.

Ότι μὲν οὖν τὰ πνεύματα καὶ ἡ περισπωμένη διάφορον τὴν τῶν ςοιχείων, οἷς ἐπετίθεντο, ἐκφώνησιν ἀπειργάζοντο, ἀρκούντως ἐκ τούτων δέδεικται· ὅτι δ' αὕτη ἡ διαφορὰ οὐ πάνυ μεγάλη καὶ αἰσθητὴ ἦν, πολλὰς αὖθις πίςεις ἐπαγαγεῖν ἔχομεν· οἷον τὸ τοῦ Ὁμήρου·

» Οὖτις ἔμοι γ' ὄνομ' ἐςίν, Οὖτίν δέ με κικλήσκουσιν. Οὐ γὰρ ἔδει τούτοις χρήσασθαι τὸν Ποιητὴν, εἰ τὸ ψιλούμενον καὶ περισπώμενον οὖ λίαν τοῦ μόνον ψιλουμένου διέφερεν. » Ὁ μὲν γὰρ Πολύφημος, ἧπου φησὶν Εὐςάθιος, ἔλεγεν, Οὔτίς με κτείνει δόλῳ οὐδὲ βίῃ· οἱ δὲ Κύκλωπες ἀμαθεῖς ὄντες τοῦ Οὖτις κυρίου ὀνόματος διὰ τὸ καινόφωνον, καὶ νομίσαντες ὅτι πρὸς τὸ ἐρώτημα τὸ, μή τις αὐτοῦ μῆλα ἐλαύνῃ, ἢ μή τις αὐτὸν κτείνῃ δόλῳ ἢ βίᾳ, ἀπεκρίνατο αὐτὸς, ὡς οὐδείς με κτείνει δόλῳ οὐδὲ βίᾳ, ἐπάγουσιν· εἰ μὲν δὴ μή τις κ.τ.λ. (6). » Αὖθις. Ἐπίχαρμος γοῦν εἰπὼν τό· Ὁ Ζεύς μ' ἐκάλεσε Πέλοπί γ' ἔρανον ἑςιῶν· ὃ δὴ ἀπαλλαγὲν τῆς συναλοιφῆς, γεράνου ἑςίασιν δηλοῖ· καὶ ἀκούσας δῆθεν ἔκ τινος τό· ἢ παμπόνηρον ὄψον ὦ τᾶν ὁ γέρανος, διασαφεῖ ἐπάγων τό· Ἀλλ' οὔ τι γέρανον, ἀλλ' ἔρανόν τοι λέγω » (7). Καὶ τὸ τοῦ Ἀριςοτέλους. » Τὸ δὲ ἀμφίβολα διαφεύγειν τοιόνδε ἐςίν. Ἔνια τῶν ὀνομάτων ταὐτὰ ἐπὶ πλείοσι πράγμασι κεῖται· οἷον ὁ δ ὁ ς τῶν θυρῶν, καὶ ὁ δὸ ς ἣν βαδίζουσιν » (8). Εἰ γὰρ τὸ ψιλούμενον ο διαφορᾷ λίαν αἰσθητῇ τοῦ δασυνομένου προὐφέρετο, οὐκ ἂν ταῦτα ἀμφίβολα ἦν. Αὖθις. » Παρὰ δὲ τὴν προσῳδίαν ἐν μὲν τοῖς ἄνευ γραφῆς διαλεκτικοῖς οὐ ῥᾴδιον ποιῆσαι λόγον· ἐν δὲ τοῖς γεγραμμένοις καὶ ποιήμασι μᾶλλον. Οἷον καὶ τὸν Ὅμηρον ἔνιοι διορθοῦνται πρὸς τοὺς ἐλέγχοντας ὡς ἀτόπως εἰρηκότα· τὸ μὲν οὗ καταπύθεται ὄμβρῳ· λύουσι γὰρ αὐτὸ τῇ προσῳδίᾳ, λέγοντες τὸ ου ὀξύτερον. Καὶ τὸ περὶ τοῦ ἐνυπνίου τοῦ Ἀγαμέμνονος, ὅτι οὐκ αὐτὸς ὁ Ζεὺς εἶπε, δίδομεν δὲ οἱ εὖχος ἀρέσθαι, ἀλλὰ τῷ ἐνυπνίῳ ἐνετέλλετο διδόναι (9). » Παρὰ δὲ τὴν προσῳδίαν λόγοι μὲν οὐκ εἰσὶν, οὔτε τῶν γεγραμμένων, οὔτε τῶν λεγομένων, πλὴν εἴτινες ὀλίγοι γένοιντ' ἄν. Οἷον οὗτος ὁ λόγος. Ἆρά γε ἐςὶ τὸ οὗ καταλύεις οἰκία; ναί· οὐ-

(6) Παρεκβ. Ὀδυσ. σ. 361.
(7) Αὐτόθ.
(8) Ῥητορ. πρὸς Ἀλέξ. κ. κς΄.
(9) Σοφις. Ἐλέγχ. κ. δ΄.

Digitized by Google

igitur spiritus et circumflexus prolationem elementorum, in quibus ponebantur, diversam efficiebant, sufficienter ex his demonstratum est; quod vero eadem non valde magna ac sensibilis erat: multa etiam testimonia adferre valemus; hunc nempe versum Homeri:

» Οὖτις ἔμοι γ' ὄνομ' ἐςὶν, Οὖτίν δέ με κικλήσκουσι.

Non deberet enim Homerus his uti, si spiritum tenuem et circumflexum habens οὖ, a solummodo spiritum tenuem habente valde differet. » Nam Polyphemus quidem, ut asserit Eustathius, dicebat, Οὖτίς με κτείνει δόλῳ οὐδὲ βίῃ; Cyclopes vero Οὖτις nomen proprium esse, ob novitatem vocis, non scientes; et ad interrogationem: an quidam oves ejusdem abigat, aut illum fraude vel violentia occidat, respondisse putantes, quod nemo me fraude vel violentia occidat: replicant; si nemo te, etc » (6). Iterum: » Epicharmus igitur cum dixerit, ὁ Ζεύς μ' ἐκάλεσε Πέλοπί γ' ἔρανον ἑςιῶν, quod contractione absolutum, γεράνου cœnam significat; et cum quendam dicentem audiret: Amice! utique pessimum alimentum est γέρανος: orationem clariorem hoc adferens reddit, ἀλλ' οὔ τι γέρανον, ἀλλ' ἔρανόν τοι λέγω » (7). Et hoc Aristotelis: » Ambigua vero fugere ita quebimus. Quædam nomina diversis serviunt rebus: sicut ὀδὸς *limen* januæ, et ὁδὸς *via* qua itur » (8). Si enim spiritum tenuem habens ο differentia valde sensibili quam aspiratum pronunciaretur, hæc non fuissent ambigua. Iterum: » Ex prosodia vero in non scriptis dissertationibus haud facile est efficere argumentationem; sed in scriptis et poëmatibus potius. Sicut et Homerum nonnulli tuentur adversus eos, a quibus reprehenditur, quasi absurde dixerit, τὸ μὲν οὗ καταπείθεται ὄμβρῳ; hoc enim per accentum solvunt, dicentes illud ου accentu acuto esse notandum. Etiam illud de Agamemnonis somnio defendunt; quia non ipse Jupiter dixit: δίδομεν δέ οἱ εὖχος ἀρέσθαι; sed somnio mandavit διδόναι » (9). » Ex accentu vero argumentationes non sunt, neque in scriptis, neque in pronunciatis, nisi paucæ quædam fiant; ut

(6) Parecb. Odys. p. 361.

(7) Ib.

(8) Rhetor. ad Alex. c. 26.

(9) Elench. Sophist. c. 4.

κοῦν τὸ οὐ καταλύεις τοῦ καταλύεις ἀπόφασις; ναί· ἔφησας δὲ εἶναι τὸ οὐ καταλύεις οἰκίαν. Ἡ οἰκία ἄρα ἀπόφασις. Ὡς δὲ λυτέον, δῆλον· οὐ γὰρ ταὐτὸν σημαίνει, τὸ μὲν ὀξύτερον, τὸ δὲ βαρύτερον ῥηθέν » (10). Καὶ τὸ τοῦ ὑποκριτοῦ, ὃς ἐν τῇ τοῦ ἑξῆς ςίχου ἀπαγγελίᾳ,

» Ἐκ κυμάτων γὰρ αὖθις γαλήνην ὁρῶ,

ἐπεὶ μεταξὺ τοῦ πνεύματος ἐκλιπόντος, οὐκ ἔσχεν ἀπνευςὶ ὅλον τὸν ςίχον εἰπεῖν, ἀλλ' ἐν τῷ γαλην ἔςη πρὸς ὀλίγον, εἶτα τὸ λοιπὸν ἐξεφώνησεν, ὑπὸ τῶν θεατῶν ἐκσεσύρικται, ὡς εἰ ἔλεγε, γαλῆν νῦν ὁρῶ (§. οα'.). Καὶ τὸ παρὰ τῷ Σχολιαςῇ τοῦ Ἀριστοφάνους. » Λέγεται ὡς συμβολικὸς ἐρωτώμενος περὶ ἀῤῥώςου, εἶδεν ὄνον ἀναςάντα, ἀκήκοε δὲ ἑτέρου λέγοντος· βλέπε πῶς ὄνος ὢν ἀνέςη· ὁ δὲ ἔφη, ὁ νοσῶν ἀναςήσεται» (11). Καὶ τὸ, τίσέιει ὁ κύων; καὶ τίς σὺ εἶ ὦ κύων (§. ξε'.); παρὰ γὰρ τὸ τῆς ει καὶ υ ὁμοιόφωνον, ἀποδείκνυσι μὴ μεγάλην εἶναι τὴν διαφορὰν τῆς τῶν πνευμάτων καὶ τόνων ἐκφωνήσεως. Καὶ τὰ κατ' Εὐςάθιον παρηχοῦντα (§. γ'.). Τούτων γὰρ τὰ μὲν δασύνεται, τὰ δὲ ψιλοῦται, τὰ δὲ περισπᾶται· καὶ ὅμως πάντα παρηχεῖν ἐκεῖνος φησί, προφανῶς παριςὰς μὴ πάνυ αἰσθητὴν πάλαι πεφυκέναι μήτε τὴν τῶν ὁμοιοφώνων καθ' ἡμᾶς ςοιχείων τε καὶ διφθόγγων, μήτε τὴν τῶν πνευμάτων καὶ τόνων διαφορὰν ὡς πρὸς τὴν ἐκφώνησιν. Ἔσχατον δὲ καὶ τὰ τοῦ σοφοῦ Νεοφύτου τοῦ Καυσοκαλυβίτου. » Κατὰ γὰρ προσῳδίαν ἀπαγγέλλομεν τὰ συντεταγμένα, ὅτε τὰς τούτων συλλαβὰς ποιᾷ τάσει κατά τε χρόνον καὶ τόνον καὶ πνεῦμα προφέρομεν· χρόνον μὲν, μακρὸν, ἢ βραχύν· τόνον δὲ, ὀξὺν, ἢ βαρύν· ὅ ἐςιν ἐπιτεταμένον, ἢ ἀνειμένον, ἢ μέσον· πνεῦμα δὲ, δασὺ, ἢ ψιλόν. Τὴν γεμὴν κατὰ προσῳδίαν ἀπαγγελλίαν οὐχ ἁπλῶς, ἀλλ' ἀπηχηματικῶς ἐκληπτέον· εἴγε τὰ τῆς προσῳδίας οὐχὶ ἦχοι, ἀλλ' ἀπηχήματα τυγχάνουσι τῆς Μουσικῆς κατὰ τὸν Εὐςάθιον. Ἀπήχημα δὲ λέγεταί τὸ τῶν ἀνομοίων ποσῶν μετέχον, ἢ δοκοῦν μετέχειν. Ὃ γὰρ ἐπὶ τῆς ὁράσεως εἰκὼν, ὁμοίωμά τι πρὸς τὸ πρωτότυπον ἔχουσα, τοῦτο ἐπὶ τῆς ἀκοῆς ἀπήχημα, ὁμόιωμά τι πρὸς τὴν φωνὴν

(10) Αὐτ. κ. κά. Ἴδε καὶ περὶ Ποιητ. κ. κέ.

(11) Ἐν Ὄρνισι ςίχ. 722.

hæc argumentatio. Estne τὸ οὖ καταλύεις domus? certe; nonne τὸ οὐ καταλύεις est negatio τοῦ καταλύεις? etiam; dixeras autem τὸ οὐ καταλύεις esse domum. Domus igitur est negatio. Quomodo autem solvendæ sunt hujusmodi captiones, manifestum est; quoniam illud ου non idem significat, cum acutius, et cum gravius proferatur »(10). Et hoc Histrionis, qui in declamatione sequentis versus:

» Ἐκ κυμάτων γὰρ αὖθις γαλήνην ὁρῶ.

Cum, spiritu deficiente, non potuerit uno tractu totum versum dicere; sed in γαλην interruptione aliqua facta, reliquum versus exclamaverit: a spectatoribus exsibilatus est, tanquam si dixisset, γαλῆν νῦν ὁρῶ (§. 71.). Et illud quod apud Scholiastam Aristophanes est. » Dicunt quod Symbolicus quidam dum de ægrotante interrogabatur, vidit asinum surgentem; audivit vero quendam dicentem: vide quod ὄνος ὢν ἀνέστη; itaque ille dixit ὁ νοσῶν ἀναστήσεται » (11). Et hoc, τί σείει ὁ κύων? et τίς σὺ εἶ ὦ κύων (§. 65)? nam præter similem ει et υ prolationem, etiam indicat non magnam fuisse spirituum et accentuum pronunciationis differentiam. Et illa quæ juxta Eustathium (§. 90) parechesin faciunt. Nam ex his alia asperantur, alia acuuntur, alia circumflectuntur; et tamen omnia parechesin facere ille dicit; manifeste indicans nec similis juxta nos soni literarum ac diphthongorum, nec spirituum et accentuum prolationis differentiam magnam olim fuisse. Denique hæc eruditi Neophyti Causocalybitæ. » Juxta prosodiam enim composita legimus, dum eorum syllabas extensione quadam, quoad tempus, accentum et spiritum proferimus; quoad tempus quidem: longum, vel breve; quoad accentum vero: acutum, vel gravem; id est intensum, vel remissum, vel medium; et quoad spiritum: asperum, vel tenuem. Attamen pronunciatio, quæ juxta prosodiam fit, non absolute, sed ἀπηχηματικῶς intelligenda est; siquidem prosodiæ non soni, sed ἀπηχήματα (extremi soni pulsus) Musices sunt, juxta Eustathium. Ἀπήχημα vero dicitur, quod inæqualibus quantitatibus participit, aut participere videtur. Quod enim imago visui est, similitu-

(10) Ib. c. 21. Vide et Poët. c. 25. (11) In avib. vers. 722.

ἔχον. Ἐφ' οὗ καὶ παροιμία λέγεται τὸ τῆς ἠχοῦς ὑςερόφωνον· τὸ γὰρ ἀπὸ τοῦ ἤχου εἰς τὸ ἐλάχιςον καταντῆσαν, τοῦτό ἐςι τὸ ἀπήχημα. Τῆς γοῦν Μουσικῆς αὐτῆς ποιᾷ τάσει τὰ συντεταγμένα ἀπαγγελλούσης, ἐξ αὐτοῦ τοῦ κατὰ τὴν ποιὰν τάσιν ἤχου ἀπηχήματά τινα, καὶ οἱονεὶ ὁμοιώματα τοῦ ἤχου, εἰ καὶ ἀνομοίως ἐκλαμβάνονται, πρὸς τὸν πεζὸν λόγον φθάνουσι » (12).

§. ρκϛ΄. Φανερὸν οὖν ἐκ τούτων γίνεται ὡς μετά τινος μὲν παραλλαγῆς πάλαι τὰ γράμματα ἐξεφέρετο, δασεῖαν, ἢ ψιλὴν, ἢ περισπωμένην ἔχοντα· ἡ δὲ τῆς ἐκφωνήσεως διαφορὰ οὐ πάνυ μεγάλη καὶ αἰσθητὴ ἦν, ὡς ἤχου ἀπήχημα, οὕτω καὶ αὕτη τῆς μουσικῆς ἀπαγγελίας διαφέρουσα. Ἔδει γὰρ εἴπερ, τοὺς ἀρχαίους Ἕλληνας λαλοῦντας, ἢ ἀναγινώσκοντας ᾄδειν (1).

(12) Ἐν Ὑπομνήμ. εἰς τὸ Δ΄. τῆς τοῦ Θεοδώρ. Γραμματ. σελ. 1236. Ἐν Βουκουρεςί. 1768.

(1) Πάσης δὲ φωνῆς δυναμένης κινεῖσθαι τὸν εἰρημένον αὐτὸν τρόπον, δύο τινές εἰσιν ἰδέαι κινήσεως, ἥτε συνεχὴς καὶ ἡ διαςηματική... Ἁπλῶς γὰρ ὅταν ἂν οὕτω κινῆται ἡ φωνὴ, ὥςε μηδαμοῦ δοκεῖν ἵςασθαι τῇ ἀκοῇ, συνεχῆ λέγομεν ταύτην τὴν κίνησιν· ὅταν δὲ ςῆναί που δόξασα, εἶτα πάλιν διαβαίνειν τινα τόπον φανῇ· καὶ τοῦτο ποιήσασα, πάλιν ἐφ' ἑτέρας τάσεως ςῆναι δόξῃ, καὶ τοῦτο ἐναλλὰξ ποιεῖν φαινομένη συνεχῶς διατελῇ, διαςηματικὴν τὴν τοιαύτην κίνησιν λέγομεν. Τὴν μὴν οὖν συνεχῆ λογικὴν εἶναι φαμέν· διαλεγομένων γὰρ ἡμῶν οὕτως ἡ φωνὴ κινεῖται κατὰ τόπον, ὥςε μηδαμοῦ δοκεῖν ἵςασθαι. Κατὰ δὲ τὴν ἑτέραν, ἣν ὀνομάζομεν διαςηματικὴν, ἐναντίως πέφυκε γίνεσθαι. Ἀλλὰ γὰρ ἵςασθαί τε δοκεῖ, καὶ πάντες τὸν τοῦτο φαινόμενον ποιεῖν, οὐκέτι λέγειν φασὶν, ἀλλ' ᾄδειν. Ἀριςόξ. ἔνθ. ἀν. Β. Α΄. σ. 8. Τὸ Ἐνῳδὸν εἶδος τῆς ἀνθρωπίνης φωνῆς τοιοῦτον ἐςὶ, τὸ πάντας ἐμφαίνειν τοῖς ἐπιςήμοσι τοὺς φθόγγους ἡλίκου ἕκαςος μεγέθους μετέχει. Εἰ γὰρ μὴ οὕτω τις χρῷτο αὐτῷ, οὐκέτι ᾄδειν λέγεται, ἀλλὰ λέγειν. Τὸ δὲ ἕτερον τὸ συνεχὲς, καθ' ὃ ὁμιλοῦμέν τε ἀλλήλοις καὶ ἀναγινώσκομεν, οὐδεμίαν ἔχοντες ἀνάγκην ἐμφανεῖς τὰς τῶν φθόγγων τάσεις, καὶ διακεκριμένας ἀπ' ἀλλήλων ποιεῖσθαι, ἀλλὰ εἴροντες τὸν λόγον ἕως τῆς τοῦ φραζομένου τελειώσεως. Εἰ γάρ τις ἢ διαλεγόμενος, ἢ ἀπολογούμενος τινὶ, ἢ ἀναγινώσκων γε, ἔκδηλα μεταξὺ καθ' ἕκαςον φθόγγον ποιῇ τὰ μεγέθη, διϊςάνων καὶ μεταβάλλων τὴν φωνὴν ἀπ' ἄλλου εἰς ἄλλον, οὐκέτι λέγειν ὁ τοιοῦτος, οὐδὲ ἀναγινώσκειν, ἀλλὰ μελῳδεῖν λέγεται. Νικόμαχ. Γερασ. Ἁρμον. Ἐγχειρ. Β. Α΄. σ. 4. Τὸ μὲν τῆς φωνῆς μέλος, λέγω δὲ οὐ τῆς ᾠδικῆς, ἀλλὰ τῆς ψιλῆς, κᾂν ἡδέως διατιθῇ τὴν ἀκοὴν, εὐμελὲς λέγοιτ' ἂν, ἀλλ' οὐκ ἐμμελές· ἡ δ' ἐν τοῖς χρόνοις τῶν μορίων συμμετριάζουσα τὸ μελικὸν σχῆμα, εὔρυθμος, ἀλλ' οὐκ ἔνρυθμος. Διον. Ἀλικ. ἔνθ. ἀν. σ. 18. Ἴδε καὶ Εὐ-

dinem quandam ad originale habens; idem auditui est apechema, aliquam similitudinem cum voce habens; de quo et proverbium dicitur τὸ τῆς ἠχοῦς ὑστερόφωνον; nam apechema illa pars soni est, quæ ad minimum pervenit. Cum igitur Musica suas compositiones extensione quadam enunciet: ex hoc qualiscunque extensionis sono apechemata quædam, et quasi simulacra soni, licet dissimiliter accipiantur, ad solutam usque orationem perveniunt (12).

§. 126. Ex hisce itaque manifestum fit cum differentia quadam elementa, spiritum tenuem, vel asperum, vel circumflexum habentia, olim pronunciata esse; prolationis vero differentiam non valde magnam sensibilemque fuisse; quia ut apechema a sono, ita et hæc a musica pronunciatione differebat. Nam aliter deberent prisci Græci in disserendo et loquendo canere (1).

(12) In Comment. in Lib. IV. Grammat. Theodor. p. 1236. Bukurestiis. 1768.

(1) Omnis vero vocis, quæ dicto illo modo moveri potest, duæ quædam sunt motus species: continua scilicet, et intervallis disjuncta.... Nam simpliciter dicendo, dum vox ita movetur, ut nullibi consistere auditui videatur, continuum dicimus huncce motum; dum vero alicubi consistere visa, deinde rursus locum aliquem transire videtur, et hoc facto, rursus in alia finitione stare; atque hoc ultro citroque facere apparet ac continue: intervallis disjunctum ejusmodi motum dicimus. Continuum itaque vocis motum dicimus esse rationalem. Nobis enim disserentibus vox ita in loco movetur, ut nullibi consistere videatur. In altera vero motus specie, quam intervallis discretam nominamus, contra fieri solet. Nam et consistere videtur; et omnes eum, quem hoc facere vident, haud disserere amplius, sed canere dicunt. Aristox. l. c. L. I. p. 8. Vocis humanæ species in cantu locum habens talis est, quæ omnes scientibus designat sonos, quantæ magnitudinis singuli participent. Nisi enim ita quis ea utatur, non jam canere, sed loqui dicitur. Alteram vero autumarunt continuam, per quam inter nos colloquimur ac legimus, necesse non habentes manifestas atque inter se distinctas reddere sonorum tensiones; quin sermonem connectimus, usque dum id, quod dicere proposuimus, finem habet. Siquis enim aut disserens, aut alicui se purgans, aut etiam legens, manifestas interea in singulis sonis faciat magnitudines, dirimens voces ac trajiciens ab uno sono in alterum: non amplius dicere hujusmodi, sed canere dicitur. Nicomach. Geras. Harmon. Manual. L. I. p. 4. Vocis modulatio, non quæ in cantu versatur dico, sed quæ in nuda et soluta oratione, etiam si auribus nostris se suaviter insinuat, canora jure vocari possit, non au-

§. ρκζ'. Οὐ μὴν ἀλλὰ καὶ διαφορά τις ἦν πάλαι ἐν τῇ ἀπαγγελίᾳ τοῦ πεζοῦ λόγου, καὶ τῶν ποιημάτων· ἔτι δ' ἐν τῷ ἁπλῶς διαλέγεσθαι, κἂν τῷ μετά τινος πάθους ψυχῆς λέγειν (1), ἢ δημηγορεῖν ἀπ' ὀκρίβαντος, ἢ ἐπὶ σκηνῆς ὑποκρίνεσθαι (2). Ὥϛε

κλείδ. Εἰσαγ. Ἁρμον. σ. 2. καὶ Γαουδέντ. ἔνθ. ἀν. σ. 2. καὶ Βακχ. ἔνθ. ἀν. σ. 16.

(1) Ἐν τῷ διαλέγεσθαι φεύγομεν τὸ ἱϛάναι τὴν φωνὴν, ἂν μὴ διὰ πάθος ποτὲ εἰς τοιαύτην κίνησιν ἀναγκασθῶμεν ἐλθεῖν. Ἀριϛόξ. ἔνθ. ἀν. σ. 9. Λέγεται δ' ἀνθρώπου προσελθόντος, δεομένου συνηγορίας, καὶ διεξιόντος ὡς ὑπό τινος λάβοι πληγάς· ἀλλὰ σύ γε, φάναι τὸν Δημοσθένη, τούτων, ὧν λέγεις, οὐδὲν πέπονθας. Ἐπιτείναντος δὲ τὴν φωνὴν τοῦ ἀνθρώπου· ἐγὼ Δημόσθενες οὐ πέπονθα; νὴ δία, φάναι, νῦν ἀκούω φωνὴν ἀδικουμένου καὶ πεπονθότος. Πλούτ. ἐν βίῳ Δημοσθ.

(2) Τρίτον δὲ τούτων, ὃ δύναμιν μὲν ἔχει μεγάλην, οὔπω δὲ ἐπικεχείρηται, τὰ περὶ τὴν ὑπόκρισιν· καὶ γὰρ εἰς τὴν Τραγικὴν καὶ Ῥαψῳδίαν ὀψὲ παρῆλθεν. Ὑπεκρίναντο γὰρ αὐτοὶ τὰς Τραγῳδίας οἱ Ποιηταὶ τὸ πρῶτον. Δῆλον οὖν ὅτι καὶ περὶ τὴν Ῥητορικὴν ἐϛὶ τὸ τοιοῦτον, ὥσπερ καὶ περὶ τὴν Ποιητικήν· ὅπερ ἕτεροί τινες ἐπραγματεύθησαν, καὶ Γλαῦκος ὁ Τήϊος. Ἔϛι δὲ αὕτη μὲν ἐν τῇ φωνῇ πῶς αὐτῇ δεῖ χρῆσθαι, πρὸς ἕκαϛον πάθος· οἷον πότε μεγάλῃ, καὶ πότε μικρᾷ, καὶ πότε μέσῃ· καὶ πῶς τοῖς τόνοις, οἷον ὀξείᾳ καὶ βαρείᾳ καὶ μέσῃ, καὶ ῥυθμοῖς τισι πρὸς ἕκαϛα. Τρία γάρ εἰσι, περὶ ὧν σκοποῦσι· ταῦτα δ' ἐϛὶ μέγεθος, ἁρμονία, ῥυθμός. Ἀριϛοτ. Ῥητορ. Β. Γ' Κεφ. ά. Ὀδυρομένου δὲ τοῦ Δημοσθένους πρὸς αὐτόν..... ἀληθῆ λέγεις, ὦ Δημόσθενες, φάναι, τὸν ὑποκριτὴν Σάτυρον. Ἀλλ' ἐγὼ τὸ αἴτιον ἰάσομαι ταχέως, ἄν μοι τῶν Εὐριπίδου τινὰ ῥήσεων, ἢ Σοφοκλέους ἐθελήσῃς εἰπεῖν ἀπὸ ϛόματος· εἰπόντος δὲ τοῦ Δημοσθένους, μεταλαβόντα τὸν Σάτυρον οὕτω πλάσαι καὶ διεξελθεῖν ἐν ἤθει πρέποντι τὴν αὐτὴν ῥῆσιν, ὥσθ' ὅλως ἑτέραν τῷ Δημοσθένει φανῆναι. Πεισθέντα δὲ ὅσον ἐκ τῆς ὑποκρίσεως τῷ λόγῳ κόσμου καὶ χάριτος πρόσεϛι, μικρὸν ἡγήσασθαι καὶ τὸ μηδὲν εἶναι τὴν ἄσκησιν, ἀμελοῦντι τῆς προφορᾶς καὶ διαθέσεως τῶν λεγομένων. Πλούτ. ἔνθ. ἀν. Τῆς ἀναγνώσεως μέρη εἰσὶ τρία· ὑπόκρισις, προσῳδία καὶ διαϛολή. Ὑπόκρισις μὲν οὖν ἐϛιν ἡ τῶν ὑποκειμένων σωμάτων, ἢ πραγμάτων μίμησις, ἢ διὰ σωματικῆς, ἢ φωνητικῆς ἐμμέτρου κινήσεως γινομένη. Προσῳδία δὲ τόνος φωνῆς κατὰ διάλεκτον, ἢ κατὰ ἀναλογίαν κατορθούμενος...... Διαϛολὴ δέ ἐϛι διάϛασις γράμματος περὶ τὴν σύνταξιν ἀμφιβάλλουσα, ἢ ἀμφιβόλου.... Ἐκ μὲν τῆς ὑποκρίσεως τὴν ἀρετὴν τοῦ ποιητοῦ ὁρῶμεν· ἐκ δὲ τῆς προσῳδίας τὴν τέχνην τοῦ ἀναγινώσκοντος· ἐκ δὲ τῆς διαϛολῆς, τουτέϛι τῆς ϛιγμῆς, τὴν διάνοιαν καὶ τὴν σαφήνειαν τοῦ ποιήματος κρίνομεν. Σχόλ. εἰς Δ. τὸν Θρᾷκα ἔνθ. ἀν. σ. 180. Τριχῶς δὲ τὰ τῆς ἀπαγγελίας γίνεσθαι πέφυκε· καθ' ὑπόκρισιν, προσῳδίαν καὶ διαϛολήν. Καὶ τῆς μὲν ὑποκρί-

§. 127. Cæterum differentia quædam olim erat in pronunciatione solutæ orationis, et poëmatum; iterum in simpliciter disserendo, et cum quodam animi pathemate loquendo (1); aut in concionando ab ocribante; aut in scena declamando (2).

tem cantus; quæ vero in partium orationis temporibus, habita proportione ad mensuram versuum lyricorum se exigit, numerosa itidem, non tamen numeris adstricta. Dion. Halic. l. c. p. 18. Vide et Euclid. Introd. Harmon. p. 2. et Gaudeut. l. c. p. 2. et Bacch. l. c. p. 16.

(1) In disserendo vocem sistere vitamus; nisi aliquando ob affectum expriméndum ad ejusmodi motum devenire cogamur. Aristox. l. c. p. 9. Quum enim adisset quidam, et causam suam suscipere orans, commemoraret a quopiam se cæsum: dicitur Demosthenes ei respondisse. Tu vero nullam injuriam, ut dicis, passus es. Cum vero hic homo vocem intenderit, ac vociferaretur: ego Demosthenes nullam injuriam sum passus? nunc, dixisse, ego vocem audio cæsi ac violati. Plut. in vita Demosth.

(2) Tertium autem horum, quod vim habet maximam, et nondum tentatum est, ea quæ pertinent ad actionem; nam in Tragica et Rhapsodia sero venit. Agebant enim ipsas Tragœdias Poëtæ primum. Manifestum igitur est etiam in Rethorica esse idem ac in Poëtica; quod alii quidam tradiderunt, et Glauco Tejus. Atque ipsa consistit in voce, quemadmodum ea oporteat uti ad unumquemque affectum; ut quando magna, et quando parva, et media; et quemadmodum tonis, ut acuto, et gravi, et medio; et quibus numeris ad unumcunque. Tria autem sunt, de quibus considerant; et hæc sunt magnitudo, concentus, numerus. Aristot. Rethor. L. III. c. 1. Conquerente lamentabiliter apud eum Demosthene... recte ais Demosthenes dixisse histrionem Satyrum. At ego cito medebor causæ, si mihi carmina aliqua Euripidis, aut Sophoclis memoriter velis pronunciare; quæ ubi pronunciavit Demosthenes: recepisse eadem post Demosthenem Satyrum, itaque egisse et reddidisse vultu decenti et apta actione eosdem versus, ut plane Demosthenes alios esse putaret. Ut jam intellexit quantum ex actione dignitatis atque venustatis accederet orationi: rem tenuem atque inanem duxisse exercitationem, si pronunciationem et actionem dictorum negligat. Plut. l. c. Tres sunt partes lectionis: actio, prosodia ac diastole. Actio quidem est subjectorum corporum vel rerum imitatio, quæ aut corporis, aut vocis numeris concepto motu fit. Prosodia vero est sonus vocis, qui juxta dialectum, aut juxta analogiam efficitur... Diastole denique est disjunctio aut literæ ambiguæ, aut in constructione ambigua facta... Ex actione quidem virtutem Poëtæ percipimus; ex prosodia vero artem legentis; ac ex diastole, nempe punctuatione, sensum et claritatem poëmatis judicamus. Schol. in Dion. Thrac. l.

ἔχοι ἄν τις εἰπεῖν ἐν μεταιχμίῳ πως ταῦτα τοῦ ἁπλῶς διαλέγεσθαι, καὶ τοῦ ᾄδειν κεῖσθαι (3).

§. ρκη'. Ταύτην οὖν τὴν ἐκ τῶν πνευμάτων καὶ τῆς περισπωμένης ἐμποιουμένην τῷ λόγῳ χάριτα καὶ ἡδύτητα ἅμα τοῖς εἰρημένοις (§. νθ'.) ἀποβεβληκέναι ὁμολογοῦμεν. Οὐ μέντοι γε δοκεῖ μοι ἀδύνατον καὶ αὐτὴν ἡμᾶς ἀμωσγέπως ἀνακαλέσαι, καὶ τὴν τῶν ἀρχαίων ἀπαγγελίαν ὡς ἐφικτὸν μιμηθῆναι, τὰ μὲν ψιλούμενα τῶν στοιχείων ἄκροις τοῖς χείλεσι προφέροντας· ἐν δὲ τοῖς δασυνομένοις ἐκ βάθους τοῦ θώρακος τὸ πνεῦμα ἐκφέροντας (1)· ἐν δὲ τοῖς περισπωμένοις ἐπιτείνοντας ἅμα τοῦτο καὶ ἀνιέντας (2). ὥσπου νῦν Μουσικῶν παῖδες ἐν τοῖσδε τοῖς σημείοις <> ποιοῦσι.

§. ρκθ'. Καίτοι δὲ οὔτε οἱ ἀρχαιότατοι τῶν Ἑλλήνων ταῖς

σεως τοῖς ἀπὸ Ῥητορείας μέμηλεν. Ἔστι δὲ ἡ ὑπόκρισις διάθεσις, εἴτουν μίμησις πιθανὴ φωνῆς τε καὶ σχήματος, πρέπουσα τῷ τῆς ἀπαγγελίας ὑποκειμένῳ προσώπῳ καὶ πράγματι. Ταύτης δὲ τῆς ὑποκρίσεως πρόνοιαν ποιοῦνται ἐπὶ τοῖς ἐναγωνίοις τῶν λόγων μάλιστα, καὶ οἱ Τραγῳδίας τε καὶ Κωμῳδίας ὑποκρινόμενοι. Νεόφ. ἔνθ. ἀν. σ. 1240.

(3) Τῆς δὲ κινήσεως ἡ μὲν ἁπλῆ πέφυκεν, ἡ δὲ οὐχ ἁπλῆ· καὶ ταύτης ἡ μὲν συνεχὴς, ἡ δὲ διαστηματικὴ, ἡ δὲ μέση. Συνεχὴς μὲν οὖν ἐστι φωνὴ, ἡ τάς τε ἀνέσεις καὶ τὰς ἐπιτάσεις λεληθότως διά τι τάχος ποιουμένη· διαστηματικὴ δὲ, ἡ τὰς μὲν τάσεις φανερὰς ἔχουσα, τὰ δὲ τούτων μέτρα λεληθότα· μέση δὲ, ἡ ἐξ ἀμφοῖν συγκειμένη. Ἡ μὲν οὖν συνεχής ἐστιν, ᾗ διαλεγόμεθα· μέση δὲ, ᾗ τὰς τῶν ποιημάτων ἀναγνώσεις ποιούμεθα· διαστηματικὴ δὲ, ἡ κατὰ μέσον τῶν ἁπλῶν φωνῶν ποσὰ ποιουμένη διαστήματα· καὶ μονάς ἥτις, καὶ μελῳδικὴ καλεῖται. Ἀριστείδ. ἔνθ. ἀν. Β. Α'. σ. 7.

(1) Ἔστι γὰρ ἡ μὲν ψιλὴ ποιότης συλλαβῆς, καθ' ἣν ἄκροις χείλεσι τὸ πνεῦμα προφέρεται· οἷον Αἴας· ἡ δὲ δασεῖα ποιότης συλλαβῆς, καθ' ἣν ἐκ βάθους χειλέων (ἴσ. θώρακος) τὸ πνεῦμα ἐκφέρεται· οἷον ἥλιος. Πορφύρ. ἔνθ. ἀν. σ. 114. Ἰδὲ καὶ §. ρκγ'. σημ. 4.

(2) Τόνος ἐστὶν ἀπήχησις φωνῆς ἐναρμονίου... κατὰ περίκλασιν ἐν τῇ περισπωμένῃ. Περίκλασις φωνῆς λέγεται ἡ ἐν τῷ αὐτῷ ἀνάνευξις καὶ κατάνευξις, μὴ ἐπιμενούσης τῆς φωνῆς ἐν τῇ ἀνατάσει, ἀλλὰ μετὰ τὸ διατεθῆναι καταφερομένης. Ὅθεν τὸ σημεῖον τοῦ τόνου ἅμα ἄνεισι καὶ κάτεισι ^· καὶ παρὰ μὲν τοῖς Γραμματικοῖς καλεῖται περισπωμένη, παρὰ δὲ τοῖς Μουσικοῖς μέση. Διομ. ἔνθ. ἀν. σ. 181. Ἰδὲ καὶ §. ρκα'. σημ. 1. Μέσης δὲ φαμὲν εἶναι ὅρους, ἥτις τριῶν συνημμένων τετραχόρδων, τοῦ μέσου ὀξυτάτη ἐστίν. Οἱ δὲ οὕτως· Μέση ἐστὶν, ἡ μεταξὺ τόνου καὶ διτόνου ἀσυνθέτου κειμένη. κ. τ. λ. Βακχ. ἔνθ. ἀν. σ. 15.

Ideo possit aliquis dicere quodammodo hæcce in medio simplicis orationis et cantus sita fuisse (3).

§. 128. Hanc vero gratiam et venustatem, quæ ex spiritibus et accentu circumflexu sermoni efficitur, una cum supradictis (§. 59) amisisse confitemur. Attamen non impossibile mihi esse videtur eandem etiam quodammodo revocare, priscorumque pronunciationem, in quantum hoc fieri potest, imitari; spiritum quidem tenuem habentes literas extremitate labrorum pronunciando; in aspiratis vero ex imo pectore spiritum exhalando (1); ac in circumflexum habentibus simul intendendo ac remittendo spiritum (2), sicut hoc Musici in hisce signis < > faciunt.

§. 129. Etsi vero nec antiquissimi Græci prosodiis, sicut

c. p. 180. Tribus autem modis pronunciatio fieri solet: actione, prosodia et diastole; et de actione Oratores maxime curam habent. Est autem actio affectus, id est probabilis imitatio vocis figuræque, personæ ac rei, quæ pronunciatione subjicitur, aptata. De hac vero actione curam habent præcipue in certativis orationibus, et in Tragœdiis Comœdiisque ludendis. Neophyt. l. c. p. 1240.

(3) Motus vero alius simplex est, alius multiplex; atque hujus alius continuus, alius intervallis discretus, alius medius. Continua igitur vox est, quæ et remissiones et intensiones latenter ac celeriter efficit; intervallis discreta, quæ tensiones quidem manifestas habet, harum vero mensuras latentes; media, quæ ex ambabus constat. Continua ergo est, qua disserimus; media, qua carminum lectiones facimus; intervallis discreta, qua et inter simplices voces aliquanta facimus intervalla, et quæ unitas et melodica appellatur. Aristid. l. c. L. I. p. 7.

(1) Spiritus enim tenuis qualitas est syllabæ, qua labiorum extremitate spiritus emittitur, ut Αἴας; asperus vero qualitas syllabæ, qua ex profunditate pectoris spiritus emittitur, ut ἥλιος. Porphyr. l. c. p. 114. Vide et §. 123. aduot. 4.

(2) Accentus est vocis concinæ apechesis... quæ per circumfractionem in circumflexu fit. Circumfractio autem vocis dicitur ascensus descensusque eodem tempore factus, voce in extensione non insistente, sed, postquam affecta sit, descendente. Ideo signum hujus accentus simul ascendit descenditque ^; et a Grammaticis quidem περισπωμένη, a Musicis vero μέση vocatur. Diomed. l. c. p. 181. Vide et § 121. adnot. 1. Meses autem definitiones esse dicimus, quæ conjunctis tribus tetrachordis, medii est acutissima. Alii sic; Mese est, quæ inter tonum ac ditonum incompositum est sita, etc. Bacch. l. c. p. 15.



Digitized by Google

προσῳδίαις, ὥσπερ καὶ ταῖς ςιγμαῖς (1), γράφοντες οὐκ ἐχρῶντο· ὡς τοῦτο ἐκ τῶν τοῦ Ἀριςοτέλους (§. ρκε'.), καὶ ἐκ τῶν τοῦ Ἑρμογένους τῶνδε· ἑτέρα εἰ χρυσίαφοροίη, δημοσίαἔξω, καὶδημόσιαἔξω· καὶ ἐχέτωτὰ ἐμὰ πάντα Λέων, καὶ Πανταλέων (2), ἔςι μαθεῖν· οὔτε ἐν τοῖς ὕςερον χρόνοις ἡ τούτων χρῆσις γενικὴ ἦν (3)· ἀλλ' ἡμῖν πρός τε τὴν ὀρθὴν τοῦ λόγου ἐκφώνησιν, καὶ τὴν τῆς ἀμφιβολίας φυγὴν καὶ λίαν ἐςὶν ἀναγκαιότατον αὐταῖς χρῆσθαι· διὸ καὶ ἁμαρτάνουσιν οἱ τούτων ἐν τῷ γράφειν παντάπασιν ἀμελοῦντες. Πολλῶν γὰρ ἑλληνικῶν λέξεων ἡ σημασία ταῖς προσῳδίαις μόναις διαγινώσκεται· οἷον ὁδὸς ὀδὸς, ὅρος ὄρος, οἷος οἶος διός, ἄγνος ἁγνὸς, ἔκτος ἐκτὸς, βίος βιὸς, ἁρπάγη ἁρπαγὴ, κάμπη καμπὴ, κ. τ. λ. (4). Καὶ ταῦτα μὲν δὴ ταῦτα.

§. ρλ'. Τοῦ δὲ μακροῦ καὶ βραχέος (οὐ γὰρ παρέλκον ἂν εἴη, πρὶν ἢ καταλῦσαι τὸν λόγον, καὶ περὶ τῆς τούτων ἐκφωνήσεως ἐν συντόμῳ διαλαβεῖν) κατὰ χρόνον καὶ διάςημα φωνῆς ὀνομαζομένων (1), τῆς μὲν μακρᾶς συλλαβῆς ἡμίσειά ἐςιν ἡ βραχεῖα, τῆς δὲ βραχείας ἁπλοῦν σύμφωνον· καίτοι καὶ αἱ μακραὶ συλλαβαὶ τῶν μακρῶν, καὶ αἱ βραχεῖαι τῶν βραχειῶν βραχύ τι διαφέρουσι (2). Τὸ σύνολον δὲ, πάντων τῶν στοιχείων μονο-

(1) Ἰδὲ Ἀριςοτ. Ῥητορ. Β. Γ'. κ. έ.

(2) Περὶ Στάσ. σ. 17 καὶ 78.

(3) Φασὶν ὡς πρῶτον περὶ τὸ μέσον τῆς γ'. πρὸ Χριςοῦ ἑκατονταετηρίδος ἤρξαντο γράφειν τὰ τῶν προσῳδιῶν σημεῖα ἐν τοῖς τῶν ἀρίςων συγγραφέων βίβλοις, αἵπερ ἐν ταῖς σχολαῖς ἀνεγινώσκοντο. Ἰδὲ Villoison ἐν Προλ. Ἰλ. σ. 8.

(4) Ἰδὲ Ἀμμων· περὶ Ὁμ. καὶ Διαφ. Λέξ. καὶ Λεξικ. Σκαπ. ἐν τῷ τέλει.

(1) Πορφύρ. ἔνθ. ἀν. σ. 125.

(2) Μήκους δὲ καὶ βραχύτητος συλλαβῆς οὐ μία φύσις, ἀλλὰ καὶ μακρότεραι τινὲς εἰσὶ τῶν μακρῶν, καὶ βραχύτεραι τῶν βραχειῶν· ἔςαι δὲ τοῦτο φανερὸν ἐπὶ τῶν παραδειγμάτων. Ὁμολογεῖται δὴ βραχεῖαν εἶναι συλλαβὴν, ἣν ποιεῖ φωνῆεν βραχὺ γράμμα τὸ ο, ὡς λέγεται ὁδός· ταύτῃ προςεθείτω ἓν γράμμα τῶν ἡμιφώνων τὸ ρ, καὶ γενέσθω ῥόδος· μένει μὲν ἔτι βραχεῖα ἡ συλλαβὴ, πλὴν οὐχ ὁμοίως, ἀλλ' ἕξει τινα παραλλαγὴν ἀκαρῆ παρὰ τὴν προτέραν. Ἔτι προςεθείτω ταύτῃ τῶν ἀφώνων γραμμάτων τὸ τ, καὶ γενέσθω τρόπος· μείζων αὕτη τῶν προτέρων ἔςαι συλλαβῶν, καὶ ἔτι βραχεῖα μένει. Τρίτον δέ τι γράμμα τῇ αὐτῇ συλλαβῇ προςεθείτω τὸ σ, καὶ γενέσθω ςρόφος· τρισὶν αὕτη προσθήκαις ἀκουςαῖς μακροτέρα γενήσεται τῆς βραχυτάτης, μένουσα ἔτι βραχεῖα. Οὐκοῦν τέσσαρες αὗται βραχείας συλλαβῆς

etiam punctis (1), in scribendo non uterentur; ut hoc ex verbis Aristotelis (§. 125), et ex hisce Hermogenis: nempe ἑταίρα εἰ χρυσία φοροίη, δημοσία ἐσω, et δημόσια ἔσω; et ἐχέτω τὰ ἐμὰ πάντα Λέων, et Παντα λέων (2), videre licet; nec in sequentibus temporibus usus eorum universalis esset (3); attamen nobis tum ad rectam orationis prolationem, cum ad amovendam ambiguitatem, maxime est necesse iisdem uti; ideo peccant qui in scribendo penitus hæc negligunt. Multorum enim græcorum vocabulorum significatio prosodiis solummodo dignoscitur: scilicet ὁδὸς ὀδὸς, ὄρος ὅρος, οἶος οἷος οἰὸς, ἄγνος ἁγνὸς, ἔκτος ἐκτὸς, βίος βιὸς, ἁρπάγη ἁρπαγὴ, κάμπη καμπὴ, etc. (4). Et hæcce quidem ita.

§. 130. Cum vero longum et breve (non esset enim superfluum, ante operis conclusionem, de horum quoque prolatione succinte disserere) juxta tempus et spatium vocis appellentur (1): longæ quidem syllabæ dimidia est brevis, brevis vero simplex consonans; etsi et longæ syllabæ a longis, et breves a brevibus aliquid differant (2). Atque in universum, cum omnia elementa unum tempus, vel duo habeant, nunquam

(1) Vide Aristot. Rhetor. L. III. c. 5.

(2) De Stas. p. 17 et 78.

(3) Dicunt quod circa medium tertii ante Christum seculi, in Auctorum classicorum libris, qui in scholis legebantur, prima vice prosodiis uti inceperint. Vide de Villoison in Prol. II. p. 8.

(4) Vide Ammon. de Simil. et Differ. Diction. et Diction. Scap. in fine.

(1) Porphyr. l. c. p. 125.

(2) Longitudinis vero ac brevitatis syllabarum non una est eademque natura; sed longiores quædam sunt longis, et brevibus breviores; id quod exemplis magis patebit. Eam esse brevem syllabam confitendum est, quam vocalis litera brevis constituit ο., v. g. ὁδός; huic addatur ρ una ex semivocalibus, ut fiat ῥόδος; manet quidem syllaba brevis, non tamen eodem modo; nam habebit quoddam, etsi non ita magnum, temporis discrimen priori additum. Præterea una ex mutis, τ scilicet, adjiciatur, ut fiat τρόπος; syllabis erit prioribus longior, et tamen adhuc brevis. Tertia insuper litera huic syllabæ apponatur σ, ut sit στρόφος; hac triplici literarum accessione sensibili erit longior quam brevissima, cum tamen ipsa brevis permaneat. Quamobrem hæ quatuor syllabæ brevis differentiæ, habita mensuræ variationis ratione, sensibile discrimen temporis sortiuntur. Eadem quoque ratio est et longæ; nam syllaba, quæ ex

διαφοραὶ, τὴν ἀνάλογον ἔχουσαι αἴσθησιν τῆς παραλλαγῆς μέτρον. Ὁ δὲ αὐτὸς λόγος καὶ ἐπὶ τῆς μακρᾶς· ἡ γὰρ ἐκ τοῦ η γενομένη συλλαβὴ, μακρὰ τὴν φύσιν οὖσα, τεσσάρων γραμμάτων προσθήκαις παραυξηθεῖσα, τριῶν προταττομένων, ἑνὸς δὲ ὑποταττομένου, καθ' ἣν λέγεται σπλὴν, μείζων ἂν δήπου λέγοιτο εἶναι τῆς προτέρας ἐκείνης τῆς μονογραμμάτου· μειουμένη δ' αὖ πάλιν καθ' ἓν ἕκαςον τῶν προςεθέντων γραμμάτων, τὰς ἐπὶ τοὐλάχιςον παραλλαγὰς αἰσθητὰς ἂν ἔχοι. Αἰτία δὲ ἥτις ἐςὶ τοῦ μήτε τὰς μακρὰς ἐκβαίνειν τὴν ἑαυτῶν φύσιν μέχρι γραμμάτων ἑπτὰ (*) μηκυνομένας, μήτε τὰς βραχείας εἰς ἓν ἀπὸ πολλῶν γραμμάτων συςελλομένας, ἐκπίπτειν τῆς βραχύτητος· ἀλλὰ κἀκείνας ἐν διπλασίονι λόγῳ θεωρεῖσθαι τῶν βραχειῶν, καὶ ταύτας ἐν ἡμίσει τῶν μακρῶν, οὐκ ἀναγκαῖον ἐν τῷ παρόντι σκοπεῖν· ἀρκεῖ γὰρ ὅσον εἰς τὴν παροῦσαν ὑπόθεσιν ἥρμοττεν εἰρῆσθαι, ὅτι διαλλάττει καὶ βραχεῖα συλλαβὴ βραχείας, καὶ μακρὰ μακρᾶς· καὶ οὔτε τὴν αὐτὴν ἔχει δύναμιν, οὔτε ἐν λόγοις ψιλοῖς, οὔτε ἐν ποιήμασιν, ἢ μέλεσι διὰ ῥυθμῶν ἢ μέτρων κατασκευαζομένοις, πᾶσα βραχεῖα καὶ πᾶσα μακρά. Διον. Ἀλικ. ἐνθ. ἀν. σ. 24. Αἱ μὲν οὖν μακρὸν ἔχουσαι ςοιχεῖον, ἢ δίχρονον ἐκτεινόμενον, ἢ βραχὺ ςοιχεῖον διχρόνῳ συμπλακὲν, ἢ δίχρονα δύο ἀλλήλοις συμπλακέντα, καλοῦνται μακραί· αἱ δὲ βραχὺ φωνῆεν, ἢ δίχρονον συςελλόμενον, ἤτοι καθ' ἑαυτὸ, ἢ μετὰ ἁπλοῦ συμφώνου, βραχεῖαι λέγονται. Καὶ αὗται μὲν φυσικαὶ τῶν συλλαβῶν διαφοραί. Γίνονται δέ τινες καὶ κατὰ πρόσθεσιν τῶν συμφώνων μακραὶ συλλαβαὶ, ἤτοι διὰ τὴν ἰδίαν θέσιν προσλαβοῦσαι μῆκος, ὡς ἡ εἰς δύο σύμφωνα λήγουσα, ἢ εἰς ἓν διπλοῦν· ἢ ἀπὸ τῶν ἑξῆς, ὡς ἡ ἔχουσα δύο σύμφωνα ἐπιφερόμενα, ἢ ἓν διπλοῦν· ἢ ἀπ' ἀμφοτέρων, ὡς ἡ λήγουσά τε εἰς ἁπλοῦν, ἔχουσά τε ἐπιφερόμενον ἁπλοῦν. Τούτων οὖν οὕτως ἐχόντων, δέδεικται τὰ μεγέθη τῶν ςοιχείων τοῖς διαςήμασιν ἰσάριθμα τοῦ τόνου. Τὸ μὲν γὰρ ἐλάχιςον αὐτῶν τοῦ μεγίςου τεταρτημόριον ἐςὶν, ὡς ἡ δίεσις τοῦ τόνου· τὸ δὲ μέσον ἥμισυ μὲν τοῦ μείζονος, διπλάσιον δὲ τοῦ ἐλάσσονος. Τῆς μὲν γὰρ μακρᾶς ἡμίσεια ἡ βραχεῖα, τῆς δὲ βραχείας ἁπλοῦν σύμφωνον. Δῆλον δ' ἐκ τοῦ τὴν βραχεῖαν, ἢ διπλοῦ συμφώνου παρατεθέντος, ἢ ἑνὸς φωνήεντος, γίνεσθαι μακράν. Ἔτι τῶν συλλαβῶν αἱ μὲν οἷαι καθ' ἑαυτὰς θεωροῦνται, τοιαῦται κἂν ταῖς παραθέσεσι τῶν ἑπομένων φαίνονται· αἱ δὲ μεταβάλλουσαι· ὡς ἔκ τε τῶν θέσει μακρῶν, κἀκ τῶν κοινῶν ἐςι συνιδεῖν. Ἐκ γοῦν τῶν εἰρημένων διαφορῶν ἐν ταῖς συλλαβαῖς διαφοραὶ συνίςανται τῶν λεγομένων κοινῶν ἢ μέσων ἐν τοῖς ποσί. Μέσαι μὲν

(*) Ἔνιοι ἀντὶ τοῦ ἑπτὰ ἀναγινώσκουσι πέντε, διὰ τὸ τοσαῦτα εἶναι καὶ ἐν τῷ σπλὴν τὰ στοιχεῖα. Ὁ δ' Ἀριστείδης φησὶν ὡς μέχρι ἑξάδος ἡ συλλαβὴ ηὐξήθη (ἐνθ. ἀν. σ. 49). Εἰσὶ γὰρ καὶ συλλαβαὶ ἐκ στοιχείων ἓξ συγκείμεναι· οἷα καὶ ἡ σπληγξ ἐν τῇ λέξει ὕσπληγξ ἐστίν. Εἰ δέ τις τὸ ξ ὡς διπλοῦν, ἀντὶ δυοῖν στοιχείων ἐκλάβῃ, ὁ τῶν ἑπτὰ στοιχείων ἀριθμὸς ἀπαρτισθήσεται.

vocali constituitur, cum sit natura longa: adjectione quatuor literarum aucta, tribus præpositis, una subjecta, unde e. g. σπλὴν conflatum habes, longior quodammodo dicatur, quam illa prior, quæ unica constabat litera; quæ rursus diminuta, demptis sigillatim, quæ adjectæ fuerunt, literis, permutationes priori quamque breviorum sensibiles habebit. Quid vero causæ sit, cur neque longæ naturam suam excedant, etiamsi ad septem (*) literas extendantur; nec breves unquam, licet a pluribus literis contrahantur, sua excidant brevitate; verum illæ duplici ratione brevium considerantur; hæ dimidia longarum, non necesse est in præsenti examen instituere. Nam sufficit, quod hujus est instituti, dixisse et brevem syllabam a brevi, et a longa differre longam; neque omnem brevem, aut omnem longam, nec in oratione soluta, nec in ligata, seu heroïcum fuerit carmen, seu melicum, sive numeris, sive metro, eandem plane habere potestatem. Dion. Halic. l. c. p. 24. Quæ igitur syllabæ literam habent longam, aut ancipitem productam, aut literam brevem ancipiti connexam, aut ancipites duas inter se connexas, vocantur longæ; quæ vero vocalem habent brevem, aut ancipitem correptam, vel per se, vel cum simplici consona, dicuntur breves. Atque hæ sunt naturales syllabarum differentiæ. Fiunt autem et longæ quædam syllabæ per consonarum appositionem, aut ob propriam positionem assumentes longitudinem; ut quæ finit in duas consonas, vel in unam duplicem; aut a deinceps consonis; ut quæ duas habet consonas sequentes, vel unam duplicem; aut ab utrisque, ut desinens in simplicem, habensque subsequentem simplicem. His igitur ita se habentibus, literarum magnitudines toni intervallis numero pares monstrantur. Etenim illarum minima maximæ quarta pars est, ut diesis est quadrans toni; media dimidia quidem est majoris, dupla vero minoris. Longæ enim dimidia est brevis; brevis vero dimidia exsistit simplex consona. Manifestum id inde, quod brevis, aut duplici consona apposita, aut una vocali, fiat longa. Deinde syllabarum aliæ, quales per se spectantur, tales et in appositionibus sequentium videntur; aliæ mutationes recipiunt; ut tam ex positione longis, quam communibus videre licet. Itaque ex differentiis, quas in syllabis esse diximus, constant differentiæ earum, quæ communes, seu mediæ dicuntur in pedibus. Mediæ igitur dictæ sunt et communes, quod interdum brevium, interdum longarum officia obeant Harum vero aliæ a natura longis sumuntur, cum in vocalem

(*) Nonnulli loco ἑπτὰ legunt πέντε; siquidem tot sunt in σπλὴν literæ. Aristides autem dicit quod ad senarium usque syllaba crescat (l. c. p. 49). Dantur enim et syllabæ, quæ ex sex literis constant; qualis et σπληγξ in dictione ὕσπληγξ est. Siquis vero literam ξ, tanquam duplicem, pro duabus literis accipiat, numerus septem literarum integer erit.

οὖν εἴρηνται καὶ κοιναί, διὰ τὸ ποτὲ μὲν βραχείας, ποτὲ δὲ μακρᾶς ἐκπληροῦν χρείας. Τούτων δὲ αἱ μὲν ἀπὸ τῶν φύσει μακρῶν λαμβάνονται, ὅταν εἰς φωνῆεν μακρὸν λήγῃ συλλαβὴ, τῆς ἑξῆς ἀπὸ φωνήεντος ἀρχομένης· τῷ γὰρ οὐκ ἔχειν μεταξὺ σύμφωνον τὸ συνάπτον αὐτὰς, κεχηνότας ἀπεργαζόμεναι τοὺς ἤχους τὴν τῆς φωνῆς διαλύουσιν εὐτονίαν· ἤτε ἡμετέρα σπουδὴ τοῦ τὴν δευτέραν ἐπιλαβεῖν, διὰ τὴν τῆς φωνῆς συνέχειαν, πρὶν ἐντελῆ προσενέγκασθαι τὴν προτέραν, τῆς τοῦ καθηγουμένου τόνου μακρότητος ἀποτέμνεται. Αἱ δ' ἀπὸ τῶν φύσει βραχειῶν, ὅταν εἰς μέρος λόγου συλλαβὴ λήγῃ· ἡ γὰρ μεταξὺ διάστασις τῆς τοῦ προτέρου τελευτῆς, καὶ τῆς ἀρχῆς τοῦ δευτέρου, μῆκος τῇ συλλαβῇ παρέχεται. Αἱ δὲ ἀπὸ τῶν θέσει μακρῶν, ὅτε δυοῖν ἐπιφερομένοιν συμφώνοιν, τὸ μὲν ἄφωνον ἐςὶ, τὸ δὲ ὑγρόν· ὑπὸ γὰρ τοῦ καθηγουμένου τῆς συμπλοκῆς ςοιχείου, παχυφωνοτέρου τυγχάνοντος, ὁ τοῦ δευτέρου λεπτότερος ὢν ἐκθλίβεταί τε καὶ πιέζεται. Πάλιν τούτων τινὲς ἀπὸ μὲν τῶν φύσει μακρῶν ἧττον κοιναὶ γίνονται, ὅταν ἡ φωνηέντων πάσχουσα συλλαβὴ σύγκρουσιν, εἰς μέρος λόγου τε λήγῃ, καὶ διὰ φωνηέντων γίνηται τῶν κατὰ συμπλοκήν· λέγω δὲ τῶν δι' αὐτῶν συντιθεμένων. Εὐτονωτέρους γὰρ οὕτω ποιοῦνται τοὺς ἤχους, ἀμφότερα φανερῶς ἐκβοῶσαι τὰ φωνήεντα. Ἀπὸ δὲ τῶν βραχειῶν, ὅταν εἰς μέρος λόγου λήγουσα συλλαβὴ, φωνηέντων πάσχῃ σύγκρουσιν, λίαν ἀσθενής· μῆκος δὲ προσλαμβάνουσα πλέον ἢ κατὰ κοινὴν, τὸ ἀρκτικὸν τῆς μετ' αὐτὴν συλλαβῆς ςοιχεῖον συμβαίη δυσύνεσθαι. Αἱ δ' ἀπὸ τῶν θέσει μακρῶν, ὅτε καθηγησαμένου κατ' ἐπιφορὰν ἀφώνου, τὸ μ τῶν ἀμεταβόλων συμπλέκεται. Τῶν γὰρ λοιπῶν ὑγρῶν κατὰ πρόεσιν πνεύματος ἐκφωνουμένων, τοῦτο μόνον, ἐμφράττοντες ἡμῶν τοὺς πόρους, ἐκφωνεῖν βιαζόμεθα. Κατὰ γοῦν τὸν αὐτὸν καιρὸν ἐναντιοπαθοῦν τὸ φωνητικὸν ὄργανον, οὐκ ἀπεικότως κολούει τὴν τῆς φωνῆς ὁμαλότητα. Τοιγαροῦν κἂν ἀμετάβολον αὐτῷ συμπλέξωμεν, ἀμφότερά τε τρανῶς ἐθέλοιμεν ἐκφωνεῖν, οὐκέτι κοινὴν, θέσει δὲ μακρὰν τὴν συλλαβὴν ποιησόμεθα. Ἀμέλει καὶ τῶν ἀρχαίων τινὲς βουληθέντες τὴν προκειμένην τούτου βραχεῖαν πολλαχοῦ ποιεῖν, τὸν μὲν τοῦ μ παρατρέχουσι φθόγγον, τὸν δὲ τοῦ ν μόνον ἐξάκουςον ἀποςέλλουσι (*). Χρὴ γὰρ κἀκεῖνο θεωρεῖν, ὡς εἰ μὲν μόνην τὴν συλλαβὴν ἐθέλοιμεν κατιδεῖν, ἐκ τῶν ἑαυτῆς ςοιχείων τὸ μέγεθος αὐτῆς ἡμῖν ἐπιγνωςέον· εἰ δὲ ἐν ποδικῷ σχήματι, καὶ τὴν ἑξῆς προσληπτέον πρὸς ἐντελῆ γνῶσιν τῆς τοῦ ποδὸς ἐπισκέψεως. Αὐτίκα παντὸς μέτρου τὴν τελευταίαν ἀδιάφορον ἀποφαινόμεθα, μηδεμιᾶς αὐτῇ συλλαβῆς ἐπιφερομένης, δι' ἧς ἀφωρισμένως ἑνὸς μεγέθους αὐτὴν ἂν εἰπεῖν προσήκει. Ἀριςείδ. ἐνθ. ἀν. Β. Α΄ σ.

44. Ἰςέον δὲ ὅτι ἄλλως λαμβάνουσι τὸν χρόνον οἱ Μετρικοὶ, ἤγουν οἱ

(*) Φανερὸν οὖν ἐκ τούτων ὡς οἱ ἀρχαῖοι ἐν τῷ μέμνημαι καὶ τοῖς ὁμοίοις, τῆς πρὸ τῶν μν συλλαβῆς βραχέως λαμβανομένης, τὸ μ οὐ προέφερον. » Φησὶ δ' Ἡλιόδωρος τὸ μ ἐπιφερόμενον ἀφώνῳ, ἧττον τῶν ἄλλων ὑγρῶν κοινὰς ποιεῖν ἐν τοῖς ἴσοις συλλαβάς ». Ἡφαιστ. ἐνθ. ἀν. σ. 6.

longam desinit syllaba, ea, quæ deinceps est, incipiente a vocali. Ideo enim quod intermediam non habent consonam, quæ ipsas connectat, dum hiantes efficiunt sonos, vocis rectum tenorem dissolvunt; tum nostrum secundam consequendi studium, ob vocis continuationem, antequam perfecte proferat priorem, ab antecedentis toni longitudine absciuditur. Aliæ a natura brevibus, cum in orationis partem syllaba desinit; nam distantia, quæ media est inter prioris partis orationis finem, et initium secundæ, longitudinem syllabæ præbet. Aliæ a positione longis, cum sequentium duarum consonarum altera muta est, altera liquida. Quippe ab antecedente illius complexionis litera, quæ asperioris soni est, secundæ consonæ sonus exilior exsistens, comprimitur ac eliditur. Rursus harum aliquæ a natura longis minus fiunt communes, quando syllaba vocalium patiens collisionem. tum in orationis partem desinit, tum per sonos fit, qui in connexione exsistunt; per eos, inquam, qui per se componuntur. Gratiores enim hæ faciunt sonitus, utrasque vocales clara voce efferentes; a brevibus vero, cum in orationis partem desinente syllaba, quæ vocalium patitur collisionem, admodum debilis, longitudinem vero assumit majorem quam communis; initialem sequentis syllabæ literam asperari contingit. Aliæ a positione longis, cum præcedenti per insecutionem mutæ, litera μ ex immutabilibus connectitur. Cum enim reliquæ liquidæ per emissionem spiritus exprimantur, hanc solam pronunciationis vias obstruendo exprimere cogimur. Itaque per idem tempus contraria patiens efformandorum sonorum instrumentum, non immerito turbat vocis æqualitatem. Quare etiam si immutabilem ipsi connectamus, ambasque clara voce exprimere velimus, haud amplius communem, sed positione longam syllabam efficiemus. Quin et veterum aliqui, cum quæ hanc præcedit, syllabam sæpius brevem facere velint, ipsius quidem μ sonum prætereunt; solum vero ipsius ι clare emittunt(*). Porro et hoc contemplandum, quomodo, siquidem solam velimus syllabam spectare, ex ipsius literis magnitudo ejus nobis sit cognoscenda; si in pedis figura, quomodo et sequens syllaba sit assumenda, ut pedem inquisitum perfecte cognoscamus. Statim enim omnis metri ultimam indifferentem pronunciamus, nulla ipsi subsequente syllaba, per quam definite unius magnitudinis eam dicere conveniat. Aristid. l. c. L. I. p. 44. Sciendum vero quod aliter Metrici, nempe Grammatici, et aliter Rhythmici tempus accipiant. Gramma-

(*) Ex his igitur est perspicuum quod veteres in μίμνημαι et similibus, dum ante μν exsistens syllaba breviter sumebatur, μ non pronunciabant. » Heliodorus vero dicit quod μ, dum mutam sequitur, minus quam cæteræ liquidæ syllabas communes in versibus efficiat. » Hephæst. l. c. p. 6.

χρόνων, ἢ διχρόνων ὄντων, μηδέποτε δὲ τοὺς δύο χρόνους ὑπερβαινόντων (3)· τὰ μὲν μακρὰ φωνήεντα ἀλλήλοις, καὶ τοῖς διχρόνοις ἐκτεινομένοις, καὶ τοῖς βραχέσι, πρὸ δυοῖν ἁπλοῖν συμφώνοιν, ἢ πρὸ διπλοῦ τινος οὖσιν, ὁμόχρονα τὴν ἐκφώνησιν εἰσί (4)· τὰ δὲ βραχέα ἀλλήλοις, καὶ τοῖς διχρόνοις τε, καὶ φύσει μακροῖς βραχέως λαμβανομένοις. Ταὐτὰ δὲ καὶ περὶ τῶν κυρίων τε καὶ καταχρηστικῶν διφθόγγων νοείσθω. Μακραὶ μὲν γὰρ οὖσαι, κατὰ τὰ μακρὰ τῶν φωνηέντων ἐκφέρονται· συστελλόμεναι δὲ, (ὡς παρὰ μὲν Λογογράφοις ἡ αι καὶ οι ἐν τέλει λέξεως οὖσαι, παρὰ δὲ Ποιηταῖς καὶ αὗται, καὶ αἱ λοιπαὶ πολλάκις) ὅμοιαι τοῖς βραχέσι τῶν φωνηέντων τὴν προφορὰν ἀποβαίνουσι. Τὰ δὲ κατὰ συνίζησιν λαμβανόμενα φωνήεντα, ὅτε μὲν ἀντὶ ἑνὸς μακροῦ κεῖται, ἐν μείζονι παρατάσει χρόνου κατὰ τὰ μακρὰ συνεκφέρεται τῶν στοιχείων· ὅτε δ' ἀντὶ βραχέος, ἐν ἐλάττονι κατὰ τὰ βραχέα (5). Τὰ δὲ σύμφωνα πάντα ἐστιν ἀλλήλοις ἰσόχρονα

Γραμματικοὶ, καὶ ἄλλως οἱ Ῥυθμικοί. Οἱ Γραμματικοὶ ἐκεῖνον μακρὸν χρόνον ἐπίστανται, τὸν ἔχοντα δύο χρόνους, καὶ οὐ καταγίνονται εἰς μεῖζόν τι· οἱ δὲ Ῥυθμικοὶ λέγουσι τόνδε εἶναι μακρότερον τοῦδε, φάσκοντες τὴν μὲν τῶν συλλαβῶν εἶναι δύο ἡμίσεως χρόνων, τὴν δὲ τριῶν, τὴν δὲ πλειόνων. Οἷον τὴν ως οἱ Γραμματικοὶ λέγουσιν εἶναι δύο χρόνων, οἱ δὲ Ῥυθμικοὶ δύο ἡμίσεως· δύο μὲν τοῦ ω μακροῦ, ἡμίσεως δὲ χρόνου τοῦ σ. Πᾶν γὰρ σύμφωνον λέγεται ἔχειν ἥμισυν χρόνον. Ἰστέον ὅτι παρὰ τοῖς Μετρικοῖς ἡ ὀξυτονουμένη συλλαβὴ μείζων ἐστι τῆς βαρυνομένης. Οἷον ἡ λος συλλαβὴ ἐν τῷ καλὸς μείζων ἐστι τῆς ἐν τῷ φίλος· γίνεται γὰρ βραδύτης τις τοῦ χρόνου, ὡς καὶ ἐν τῇ δασείᾳ λέγεται, διὰ τῆς ὀξείας. Ἡ δὲ περισπωμένη ἐστὶ τῶν δύο, τῆς μὲν μακρᾶς βραχυτέρα, τῆς δὲ βραχείας μακροτέρα. Πάλιν ὀξυτονουμένη συλλαβὴ, ἐπιφερομένου ἐγκλιτικοῦ, καὶ προαναπέμποντος ἐν αὐτῇ τῆς συλλαβῆς τὸν τόνον, μείζων ἐστι τῆς ἁπλῶς ὀξυτονουμένης, καὶ μὴ ἐπιφερομένου ἐγκλιτικοῦ· οἷον Ζεύς τε καί τε χαλιφρονέοντα. Σχολ. Ἡφαιστ. σ. 78.

(3) Πορφύρ. ἔνθ. ἀν. σ. 113. Τὰ στοιχεῖα ἢ μονόχρονα εἰσὶν, οἷον ε, ο· ἢ δίχρονα, οἷον α, ι, υ· ἢ μακρὰ, οἷον η καὶ ω· οὐδέποτε δὲ ὑπερβαίνουσι τοὺς δύο χρόνους. Σχολ. εἰς Δ. Θρᾷκ. αὐτ.

(4) Τὰ βραχέα καὶ δίχρονα φωνήεντα, πρὸ ἀφώνου ἀμετάβολον μεθ' ἑαυτὸ ἔχοντος ὄντα, διφορεῖται τὴν ἐκφώνησιν ἐν τοῖς ἔπεσιν. Ὅτε μὲν γὰρ ἀντὶ μακρῶν ἐκλαμβάνονται, ὡς τὰ φύσει μακρὰ ἐκφωνεῖσθαι ὀφείλουσιν· ὅτε δ' ἀντὶ βραχέων, ὡς τὰ βραχέα.

(5) Τὸ μὲν τὰ κατὰ συνίζησιν λαμβανόμενα στοιχεῖα μὴ μονοφθόγγως ὡς αἱ δίφθογγοι πάλαι ἐκφωνεῖσθαι, καὶ λίαν ἐστι πρόδη-

vero duo tempora transgrediantur (3): longæ quidem vocales sibi, et ancipitibus prolongatis, et brevibus, dum hæ ante duas simplices consonantes, vel duplicem quandam sunt, quoad prolationis tempus similes sunt (4); breves autem sibi, et ancipitibus, et natura longis breviter acceptis. Eadem etiam de propriis ac impropriis diphthongis intelligenda sunt. Dum enim longæ sunt, secundum longas vocales proferuntur; correptæ vero, (ut apud solutæ orationis Auctores αι et οι, quando in finem dictionis occurrunt, præter excepta; apud Poëtas autem et hæ, et reliquæ multoties) similes brevibus vocalibus quoad pronunciationem evadunt. Vocales vero, quæ per synizesin accipiuntur, dum pro una longa sitæ sunt, majori temporis extensione juxta longa elementa pronunciantur; dum autem brevis literæ locum tenent, etiam ut breves minori tempore efferuntur(5). Consonantes vero omnes

tici illud tempus longum agnoscunt, quod habet duo tempora, et nihil amplius quærunt; Rhythmici autem dicunt hoc longius esse illo, et aliam syllabam duorum temporum cum dimidio, aliam trium, et aliam plurium vocant. Nempe syllabam ως Grammatici duorum temporum esse dicunt, Rhythmici vero duorum et dimidii; duorum quidem ω longi, dimidii vero temporis σ. Quælibet enim consonans dimidium tempus habere dicitur. Sciendum quod apud Metricos syllaba, quæ acuitur, major est illa, quæ accentum gravem habet. Nempe syllaba λος in dictione καλὸς major est illa, quæ in φίλος occurrit; fit enim, sicut et in spiritu aspero diximus, retardatio quædam temporis, propter accentum acutum. Syllaba autem circumflexa est utraque: longa quidem brevior, brevi vero longior. Iterum syllaba, quæ acuitur, enclitico sequente, tonumque syllabæ ad illam remittente, major est illa, quæ simpliciter acuitur, quin encliticum sequatur; scilicet Ζεύς τε καί τε χαλιφρονέοντα. Schol. Hephæst. p. 78.

(3) Porphyr. l. c. p. 113. Elementa aut unius temporis sunt, ut ε, ο; aut duorum, ut α, ι, υ; aut longa, ut η et ω; nunquam vero duo tempora transgrediuntur. Schol. in Dion. Thrac. ib.

(4) Breves et ancipites vocales, dum ante mutam immutabili sequente sunt, duplici modo proferuntur in versibus. Quando enim pro longis accipiuntur, ut natura longæ vocales pronunciari debent; dum vero pro brevibus, ut breves.

(5) Quod elementa per synezesin accepta, non μονοφθόγγως ut diphthongi olim proferentur, valde est per-

(6), πλὴν τῶν διπλῶν· διπλόχρονα γὰρ ταῦτα, ἵν' οὕτως εἴπω, καὶ δυοῖν συμφώνοιν ἐν τοῖς μέτροις ἰσοδυναμοῦντα (§. λϐ'. σημ. 1). Ἔσχατον δὲ τὰ διπλασιαζόμενα σύμφωνα ἐν μείζονι, ἢ τὸ ἕν, παρατάσει χρόνου προφέρονται· καὶ ὃν λόγον ἔχει βραχὺ φωνῆεν πρὸς μακρὸν, τὸν αὐτὸν καὶ ἓν σύμφωνον πρὸς διττόν.

§. ρλα'. Ἐκ δὴ τούτων αὐτάρκως συνιδεῖν δυνατὸν τὴν τοῦ μακροῦ καὶ βραχέος ἐκφώνησιν. Εἰ γὰρ βραχὺ φωνῆεν, ἡ συλλαβὴ βραχεῖα ἐν μιᾷ ῥοπῇ ὀφθαλμοῦ, ἵν' οὕτως, εἴπω, προφέρηται, ἐν δυεῖν τὰ μακρὰ φωνήεντα, καὶ αἱ μακραὶ συλλαβαὶ ἐκφωνητέαι εἰσί. Δεῖ οὖν τοὺς ἡμετέρους νεανίσκους ἐκ πρώτης βαλϐῖδος οὕτω ταῦτα προφέρειν ἑαυτοὺς συνασκεῖν. Οὐ μὴν ἀλλὰ καὶ τὴν μικρὰν ἐκείνην παραλλαγὴν τῆς τοῦ η, ι καὶ υ προφορᾶς σπουδαστέον αὐτοῖς μιμεῖσθαι (§. ξ'.), καὶ διάκρισίν τινα ἐν τῇ τῶν δασυνομένων, ἢ ψιλουμένων, ἢ περισπωμένων φωνηέντων ἐκφωνήσει ποιεῖν (§. ρκή.). Οὕτω γὰρ τὸ ἀποϐληθὲν ἀνακτώμενοι, καὶ τὸ ἐλλεῖπον, κατὰ τὸ ἡμῖν ἐφικτὸν, τῇ τῶν πατέρων διαλέκτῳ ἀναπληροῦντες, καὶ τὴν ἀρετὴν τούτων ζηλοῦντες, καὶ εἰς τὴν αὐτῶν σοφίαν καὶ δόξαν παλινδρομῆσαι ὅλῳ θυμῷ διαγωνιζόμενοι, ἔχοιμεν ἂν δικαιοτέρῳ τῷ λόγῳ Ἕλληνες, καὶ Ἑλλήνων Ἀπόγονοι ὀνομάζεσθαι.

§. ρλϐ'. Τοιαύτη γ' ἐμοὶ ἡ περὶ τῆς τῶν Ἑλληνικῶν Στοιχείων ἐκφωνήσεως Πραγματεία γέγονεν, ὡς μὲν τῇ ὑποθέσει προσήρμοττεν, ἐπίτομος λίαν καὶ ἀτελής· πρὸς δὲ τὸ βραχὺ τοῦ καιροῦ, καθ' ὃν ἐκπεπόνηται, καὶ πρὸς τὰς σπουδαιοτέρας μου ἀσχολίας, καὶ εἰς πολὺ μῆκος ἴσως ἀποταθεῖσα. Καὶ εἰ μὲν καλῶς καὶ ἀξίως τοῦ ἀδικήματος, κατ' Αἰσχίνην φάναι, εἴρηκα· εἶπον ὡς ἐβουλόμην· εἰ δὲ ἐνδεεστέρως· ὡς ἐδυνάμην. Τὸ γὰρ τὰ τοιαῦτα διεξοδικώτερον καὶ λεπτομερέστερον πραγματεύσασθαι Γραμματικοῦ ἂν

λον (§. πγ'.)· οἵῳ δὲ τρόπῳ ταῦτα προὐφέροντο, οὐ ῥᾴδιον ἀποφήνασθαι. Ἔοικε μέντοι ὡς ἐν τῇ αὐτῶν προφορᾷ, τοῦ πρώτου στοιχείου μικρόν τι καὶ οἱονεὶ ἀτελῶς ἐκφωνουμένου, μόνος ὁ τοῦ δευτέρου ἐξηκούετο ἦχος (§. ρλ'. σημ. 2.). Ἴσως καθ' ὃν τρόπον τὰ τοιαῦτα ἐν τῇ νεωτέρᾳ Ἑλληνίδι ἐκφέρονται· οἷον χρεάς ἀντὶ χρέας, δυὸ ἀντὶ δύο. κ. τ. λ. (§. ρκδ'. σημ. 3.)

(6) Ἀριστείδης τὰ ὑγρὰ ἔλαττον ἑνὸς συμφώνου κατὰ συμπλοκὰς δύνασθαι φησίν. (§. ιά. σημ. 4.). Ἰδὲ καὶ σ. 182.

quoad tempus sibi æquales sunt (6), duplicibus exceptis. Nam hæ duplicis temporis, ut ita dicam, sunt, duabusque consonantibus in metris æquivalent (§. 32. adnot. 1.). Duplicatæ denique consonantes majori temporis extensione, quam unica, proferuntur; et quam rationem brevis vocalis ad longam, eandem etiam unica ad duplicatam habet.

§. 131. Ex hisce igitur satis longi ac brevis prolationem perspicere licet. Nam si brevis vocalis, vel brevis syllaba, in uno ictu oculi, ut ita dicam, proferatur: in duabus longæ vocales, vel longæ syllabæ pronunciandæ sunt. Debent igitur nostri juvenes ab ipso repagulo ita hæc pronunciare sese exercere. Porro conandum iisdem est parvulam quoque illam η, ι et υ prolationis differentiam imitari (§. 60.); ac discrimen quoddam in pronunciatione vocalium spiritum asperum, vel tenuem, vel circumflexum habentium facere (§. 128.). Sic enim quod amisimus recuperantes, et quod deficit pro virili parte linguæ majorum compensantes, et virtutem horum imitantes, et ad sapientiam et gloriam eorundem toto animo recurrere conantes, justius rectiusque possimus *Graeci Graecorumque Nepotes* vocari.

§. 132. Talis de Græcorum Elementorum pronunciatione Tractatus a me confectus est; ut quidem ad hanc rem aptum erat, valde compendiosus ac imperfectus; ratione vero brevitatis temporis, in quo idem elaboratus est, et in quantum magis seriæ occupationes mihi permittebant, vel ad magnam fortasse prolixitatem extensus. Ac si recte, ac ut facinus, ut juxta Æschinem dicam, merebatur, disserui: dixi ut volui; si deterius: ut potui. Nam hæcce prolixius exactiusque tractare

spicuum (§. 83.); quali vero ratione hæ pronunciabantur, non facile est determinare. Videtur autem quod in earum prolatione, cum prior litera minimum et quasi imperfecte pronunciaretur, solus posterioris sonus clare audiretur (§. 130. adnot. 2.); forsitan eadem ratione, qua hæ syllabæ in lingua græca recentiori efferuntur; ut χριὰς pro χρείας, et δυὸ pro δύο, etc. (§. 124. adnot. 3.).

(6) Aristides consonantes liquidas uno consonanti in complexionibus minus valere dicit (§. 11. adnot. 4.). Vide et p. 183.

εἴη καὶ Φιλολόγου, ὃς σχολὴν ἄγων ἀπὸ τῶν ἄλλων, ἐν τούτοις ἔγνω τὸν βίον ἅπαντα κατατρίβειν. Ἐμοὶ δὲ ὄντι ὀργιαςῇ Ἰατρικῆς, καὶ ταύτης χάριν εἰς τὴν μεγάλην τε καὶ εὐδαίμονα τῶν Γάλλων Μητρόπολιν παρεπιδημήσαντι (1)· εἶτα τὸν πόδα, τὸ τοῦ λόγου, διῶξαι, τὴν ὑπέραν ἀφέντι, μή γέ τινα μομφὴν καὶ αἰτίαν προστρίψῃ. Μικρὸν γὰρ καὶ συγγνωςὸν τὸ ἁμάρτημα, ἐάν τις Ἰατρῶν ἐν τῷ λέγειν καὶ γράφειν βαρβαρίσῃ, καὶ σολοικίσῃ, ἢ ςοιχεῖ' ἄττα περὶ τόνον, χρόνον καὶ πνεῦμα μὴ ὀρθῶς ἐκφωνήσῃ· μέγιςον δὲ καὶ ἀθεμιτώτατον τὸ δι' ἀμελετησίαν προηγηθεῖσαν περὶ τὴν τῶν νοσούντων ἴασιν ὕςερον ἁμαρτάνειν· ἐπεί γε θαμινὰ κἀκ τοῦ βραχυτάτου πλημμελήματος ὁ τῆς ὅλης ζωῆς αἰκισμὸς ἐμποιεῖσθαι δύναται. Μὴ δῆτ' ὦ Ἄπολλον, καὶ Ἀσκληπιὲ, καὶ Ὑγίεια, καὶ Πανάκεια ταυτί γ' ἐπινεύσαιτε! ἀλλὰ κρείττονά με τῶνδε τῶν ἁμαρτημάτων ἀποδεικνύντες, δῴητε τὴν τῶν καμνόντων, ἐφ' οὓς ἂν ἐσίοιμι, νοσερὰν δυσμέλειαν καὶ κακοφωνίαν, ὅσον ἡ Τέχνη τῇ Φύσει ἐπικουροῦσα ἀνύσαι ἔχει, εἰς ὑγείας εὐρυθμίαν τε καὶ εὐμέλειαν ἀεὶ μεταβάλλειν!

(1) Ἐτύγχανον ἐγὼ χειμάζων παρὰ τὴν φίλην Λευκετίαν (ἐν ἄλ. Λουκετίαν, παρὰ δὲ Στράβωνι Β. Δ΄. σ. 186. Λουκοτοκίαν)· ὀνομάζουσι δὲ οὕτως οἱ Κελτοὶ τῶν Παρισίων τὴν πολίχνην. Ἔςι δ' οὐ μεγάλη νῆσος, ἐγκειμένη τῷ ποταμῷ, καὶ αὐτὴν κύκλῳ πᾶσαν καταλαμβάνει. κ. τ. λ. Ἰουλ. Αὐτοκρ. ἐν Μισοπώγ. Ἀλλ' ἔνθα περὶ τῆς τῶν Παρισίων πόλεως, οἷα ἐξ οἵας γέγονε, δηλῶσαι βουλόμενος, λόγον ποιοῦμαι, ἆρ' οὐκ ἂν εὐγνώμονος εἴη καὶ τῶν Ἀνδρῶν, ὧν τῆς εὐνοίας ἐνταῦθα ἀπωνάμην, μνησθῆναι; Τοῦ Σοφωτάτου φημὶ Γερουσιαςοῦ, καὶ Βλέτης πρώην Ἐπισκόπου Κυρίου Γρηγορίου· οὗ δὴ, παρὰ τὰ ἄλλα, τὸ περὶ τῶν κατὰ Θρησκείαν Αἱρέσεων σύγγραμμα τὸ τοῦ ἤθους φιλάνθρωπον, καὶ τὴν πολυμάθειαν διαπρυσίως κηρύττει. Καὶ τοῦ Ἐξοχωτάτου ἐν Ἰατροῖς καὶ Διδασκάλοις Κυρίου Ἐδουάρδου Βοσκυϊλλονίου· οὗγε τὸ ἐν τῇ Κουλλενίου καὶ Βελλίου μεταφράσει, ἵνα τ' ἄλλα ἐάσω, τῶν ὑποσημειώσεων πλῆθος, τὴν ἐν τῇ Ἰατρικῇ ὑπεροχὴν αὐτοῦ φανεροῖ, καὶ ἡ τοῦ Ἕλληνος λόγου ἀκριβὴς γνῶσις τὸ τῆς γνώμης ἀγχίνουν προφανῶς δείκνυσι. Τούτοις οὖν χάριν εὐγνωμόνως τῆς εἰς ἐμὲ εὐνοίας ὁμολογῶν, καθ' Ὅμηρον φάναι,

» . . . . οὐκ ἐπιλήσομαι ἔς' ἂν
ἔγωγε
» Ζωοῖσιν μετέω, καί μοι φίλα
γούνατ' ὀρώρῃ.

ΤΕ΄ΛΟΣ.

Grammatici cujusdam Philologique esset, qui, cum absque aliis occupationibus sit, in his totam vitam conterere decreverat. Ad me autem, qui artis salutaris cultor sum, ejusdemque gratia magnam almamque Gallorum Metropolim petii (1): cum antena, ut ajunt, derelicta, pedem sim persecutus: an hocce non querelam aut vituperationem quandam sit attractu-rum? Parvus enim ac ignoscendus est error, si Medicorum quispiam in loquendo scribendoque barbarismum et solœcismum faciat; vel quædam elementa non recte quoad accentum, tempus, spiritumque pronunciet; maximus autem et nefarius, ob præteritam studii negligentiam, in ægrotis sanandis postea peccare; siquidem sæpius ex parvulo quoque errore totius vitæ αἰκισμὸς causari potest. Utinam Apollo, et Æsculapi, et Hygieia, et Panacea ista non concedatis! sed superiorem me erroribus hisce reddentes, facite ut ægrotorum, ad quos ingrediar, morbosam dissonantiam ac cacophoniam, in quantum ars naturæ opitulans efficere possit, ad sanitatis eurhythmiam ac melodiam semper mutare valeam!

